Ἑλληνικὸν γὰρ ἡ Ἶσίς ἐστι καὶ ὁ Τυφὼν πολέμιος ὢν τῇ θεῷ καὶ δι' ἄγνοιαν καὶ ἀπάτην τετυφωμένος καὶ διασπῶν καὶ ἀφανίζων τὸν ἱερὸν λόγον, ὃν ἡ θεὸς συνάγει καὶ συντίθησι καὶ παραδίδωσι τοῖς τελουμένοις, θειώσεως σώφρονι μὲν ἐνδελεχῶς διαίτῃ καὶ βρωμάτων πολλῶν καὶ ἀφροδισίων ἀποχαῖς κολουούσης τὸ ἀκόλαστον [352] **καὶ φιλήδονον, ἀθρύπτους δὲ καὶ στερρὰς ἐν ἱεροῖς λατρείας ἐθιζούσης ὑπομένειν, ὧν τέλος ἐστὶν ἡ τοῦ**

ἄγνοια, ***ἡ***: ignorance
ἄθρυπτος, ***-ον***: unbroken, tough, harsh
ἀκόλαστος, ***-ον***: intemperate
ἀπάτη, ***ἡ***: a trick, fraud, deceit
ἀποχή, ***ἡ***: abstinence from + *gen.*
ἀφανίζω: to make unseen, hide from sight
ἀφροδίσια, ***τά***: sexual pleasures
βρῶμα, ***-ατος***, ***τό***: animal flesh
δίαιτα, ***ἡ***: a way of living, regimen
διασπάω: to tear asunder, part forcibly
ἐθίζω: to accustom, use
Ἑλληνικός, ***-ή***, ***-όν***: Hellenic, Greek
ἐνδελεχῶς: *(adv.)* continuously, perpetually
θειώσις, ***-εως***, ***ἡ***: the process of consecration
ἱερός ***-α***, ***-ον***: sacred
Ἶσις, ***-ιδις***, ***ἡ***: Isis
κολούω: to cut short, keep in check
λατρεία, ***ἡ***: service, worship
λόγος, ***ὁ***: word, teaching
παραδίδωμι: to transmit X *(acc.)* to Y *(dat.)*
πολέμιος, ***-α***, ***-ον***: hostile to + *dat.*
στερρός, ***-όν***: firm, rugged
συνάγω: to gather together, collect
συντίθημι: to put together, compose
σώφρων, ***-ον***: temperate, chaste
τελέω: to complete, fulfil (an initiation)
τέλος, ***-εος***, ***τό***: the fulfilment, completion
τυφόω: to delude
Τυφῶν, ***-ονος***, ***ὁ***: Typhon (= Seth)
ὑπομένω: to undertake
φιλήδονος, ***-ον***: fond of pleasure

ἡ Ἶσίς: "*the name Isis* is Greek" from forms of ***οἶδα*** like ***ἴσ-μεν*** and with a meaning "knowing." Other interpretations of her name are given below.

τετυφωμένος: perf. part. of ***τυφόω***, "having become crazy" i.e. being demented. Whereas the name Isis is certainly an Egyptian word, Typhon is the Greek god mentioned by Hesiod as the father of the winds and identified with Seth by the Greeks

διασπῶν: the "dispersing" of the body of Osiris by Seth and its recovery and recomposition by Isis is here interpreted allegorically as the transmission of the sacred teaching

τοῖς τελουμένοις: pres. part. attrib., "transmits *to those becoming initiated*" i.e. in the mysteries

θειώσεως ... κολουούσης: gen. abs., "the process of consecration restraining"

διαίτῃ ... ἀποχαῖς: dat. instrumental, "restraining *by a regimen ... by abstinence from*"

τὸ ἀκόλαστον: acc. obj. of ***κολουούσης***, "keeping in check *the intemperate element*"

ἐν ἱεροῖς: "in sacred (rites)" or perhaps "in temples"

ἐθιζούσης: pres. part. gen. abs. with ***θειώσεως***, "the process *accustoming one* to" + *inf.*

πρώτου καὶ κυρίου καὶ νοητοῦ γνῶσις, ὃν ἡ θεὸς παρακαλεῖ ζητεῖν παρ' αὐτῆ καὶ μετ' αὐτῆς ὄντα καὶ συνόντα. τοῦ δ' ἱεροῦ τοὔνομα καὶ σαφῶς ἐπαγγέλλεται καὶ γνῶσιν καὶ εἴδησιν τοῦ ὄντος· ὀνομάζεται γὰρ Ἰσεῖον ὡς εἰσομένων τὸ ὄν, ἂν μετὰ λόγου καὶ ὁσίως εἰς τὰ ἱερὰ τῆς θεοῦ παρέλθωμεν.

3. ἔτι πολλοὶ μὲν Ἑρμοῦ, πολλοὶ δὲ Προμηθέως

γνῶσις, **-εως**, **ἡ**: knowledge
εἴδησις, **-εως**, **ἡ**: knowledge
ἐπαγγέλλω: to tell, proclaim, announce
Ἑρμῆς, **-οῦ**, **ὁ**: Hermes
ζητέω: to seek
ἱερόν, **τό**: a shrine
Ἰσεῖον, **τό**: the Iseion, the shrine of Isis
κύριος, **ὁ**: a lord, master
νοητός, **-ή**, **-όν**: perceptible to the mind
ὀνομάζω: to name
ὁσίως: *(adv.)* in a holy manner
παρακαλέω: to call to, summon to + *inf.*
παρῆλθον: to pass by, arrive at (**εἰς**) *(aor.)*
πολύς, **πολλά**, **πολύ**: many
Προμηθεύς, **έως**, **ὁ**: Prometheus
πρῶτος, **-η**, **-ον**: first
σαφῶς: *(adv.)* clearly, plainly
σύνειμι: to be together with, unite

ὃν ... ὄντα καὶ συνόντα: "*whom* she summons us to seek ... *being and uniting* with her"

τοῦ ὄντος: gen. objective, "knowledge *of what really is*"

ὡς εἰσομένων: fut. perf. part. of **οἶδα** gen. abs. (sc. **ἡμῶν**) expressing purpose, "so that we know"

τὸ ὄν: "that which is" i.e. reality

μετὰ λόγου: expressing manner, "with reason"

παρέλθωμεν: aor. subj. in present general protasis, "if (ever) we arrive at" i.e. after passing by other things

Ἑρμοῦ ... Προμηθέως: Hermes was often identified with Thoth, Egyptian god of wisdom. Prometheus is also associated with wisdom. That Isis is the daughter of Prometheus is attributed to Antikleides in 37 below, where it is rejected by Plutarch.

Note the following versions of the word **ἱερός**:

ἱερός -ά, -όν: sacred
ἱερά, τά: sacred rites
ἱερόν, τό: a sanctuary
ἱερεῖον, τό: a sacrificial victim
ἱερεύς, **-εως**, **ὁ**: a priest, pl. **ἱερεῖς**

also

ἱερουργία, ἡ: religious service
ἱερογλυφικός, -ή, -όν: sacred writing, hieroglyphic

ἱστορήκασιν αὐτὴν θυγατέρα, τὸν μὲν ἕτερον σοφίας καὶ προνοίας, Ἑρμῆν δὲ γραμματικῆς καὶ μουσικῆς εὑρετὴν νομίζοντες. διὸ καὶ τῶν ἐν Ἑρμοῦ πόλει Μουσῶν τὴν προτέραν Ἶσιν ἅμα καὶ Δικαιοσύνην καλοῦσι, σοφὴν οὖσαν, ὥσπερ εἴρηται, καὶ δεικνύουσαν τὰ θεῖα τοῖς ἀληθῶς καὶ δικαίως ἱεραφόροις καὶ ἱεροστόλοις προσαγορευομένοις· οὗτοι δ' εἰσὶν οἱ τὸν ἱερὸν λόγον περὶ θεῶν πάσης καθαρεύοντα δεισιδαιμονίας καὶ περιεργίας ἐν τῇ ψυχῇ φέροντες ὥσπερ ἐν κίστῃ καὶ περιστέλλοντες, τὰ μὲν μέλανα καὶ σκιώδη

ἀληθῶς: *(adv.)* truly
ἅμα: *(adv.)* at the same time
γραμματικῆ, **ἡ**: writing, grammar
δεικνύω: to display, demonstrate
δεισιδαιμονία, **ἡ**: superstition
δικαιοσύνη, **ἡ**: righteousness, justice
δικαίως: *(adv.)* justly
εἴρηκα: to say or speak *(perf..)*
ἕτερος, **-α**, **-ον**: one of two
εὑρετής, **-οῦ**, **ὁ**: an inventor of + *gen.*
θεῖα, **τά** : divine things
θυγάτηρ, **-τερός**, **ἡ**: a daughter
ἱεραφόρος, **ὁ**: the bearer of holy vessels
ἱερόστολος, **ὁ**: an attendant who had charge of the sacred vestments
ἱστορέω: to record
καθαρεύω: to be clean or pure
κίστη, **ἡ**: a box, chest
μέλας, **μέλαινα**, **μέλαν**: black
Μοῦσα, **-ης**, **ἡ**: the Muse
μουσική, **ἡ**: musical art
νομίζω: to think, consider
περιεργία, **ἡ**: excessive questioning
περιστέλλω: to dress, clothe
πόλις, **-εως**, **ἡ**: a city
πρόνοια, **ἡ**: foresight, foreknowledge
προσαγορεύω: to address, call
πρότερος, **-α**, **-ον**: prior
σκιώδης, **-ες**: shady
σοφία, **ἡ**: skill, wisdom
φέρω: to bear
ψυχή, **ἡ**: the soul

αὐτὴν θυγατέρα: ind. stat., "that she (is) the daughter" In Egyptian tradition, Isis is the daughter of Geb, himself identified with the Greek Cronos

ἐν Ἑρμοῦ πόλει: "Hermopolis" in upper Egypt, a site of the worship of Thoth

τὴν προτέραν: "they call *the leader* of the Muses"

Δικαιοσύνην: "justice" in Egyptian myth is identified as the goddess Ma'at

ὥσπερ εἴρηται: perf. pass. of εἴρηκα, "as was said" above

τοῖς ... προσαγορευομένοις: pres. part. attrib., "to those justly called"

οὗτοι: "these" i.e. the **ἱεραφόροι** and the **ἱερόστόλοι**, the former "carrying" (**φέροντες**) the sacred word," the latter "attending to the vestments" (**περιστέλλοντες**) in which the statues were dressed

καθαρεύοντα: pres. part. acc. "the sacred word *cleansed of*" + *gen*.

τὰ μὲν μέλανα ... λαμπρὰ: neut. pl. obj. of **ὑποδηλοῦντες**, "hinting at things *now dark and shady, now clear and bright*" reflecting the appearance of the vestments

τὰ δὲ φανερὰ καὶ λαμπρὰ τῆς περὶ θεῶν ὑποδηλοῦντα οἰήσεως, οἷα καὶ περὶ τὴν ἐσθῆτα τὴν ἱερὰν ἀποφαίνεται. διὸ καὶ τὸ κοσμεῖσθαι τούτοις τοὺς ἀποθανόντας Ἰσιακοὺς σύμβολόν ἐστι τοῦτον τὸν λόγον εἶναι μετ' αὐτῶν, καὶ τοῦτον ἔχοντας ἄλλο δὲ μηδὲν ἐκεῖ βαδίζειν. οὔτε γὰρ φιλοσόφους πωγωνοτροφίαι, ὦ Κλέα, καὶ τριβωνοφορίαι ποιοῦσιν οὔτ' Ἰσιακοὺς αἱ λινοστολίαι καὶ πᾶσα ξυρήσις· ἀλλ' Ἰσιακός ἐστιν ὡς ἀληθῶς ὁ τὰ δεικνύμενα καὶ δρώμενα περὶ τοὺς θεοὺς τούτους, ὅταν νόμῳ παραλάβῃ, λόγῳ ζητῶν καὶ φιλοσοφῶν περὶ τῆς ἐν αὐτοῖς ἀληθείας.

ἄλλος, ***-η***, ***-ον***: other, another
ἀποθνήσκω: to die off, die
ἀποφαίνω: to show forth, display
βαδίζω: to go slowly, to walk
δράω: to do
ἐκεῖ: *(adv.)* there (to the underworld)
ἐσθής, ***-ῆτος***, ***ἡ***: clothing, vestment
ἔχω: to have, hold
ζητέω: to seek, seek for
Ἰσιακός, ***ὁ***: a follower of Isis
κοσμέω: to order, arrange
λαμπρός, ***-ά***, ***-όν***: bright, radiant
λινοστολία, ***ἡ***: wearing of linen clothing
νόμος, ***ὁ***: a law, custom
ξύρησις, ***-εως***, ***ἡ***: shaving
οἴησις, ***-εως***, ***ἡ***: an opinion, notion
οἷος, ***-α***, ***-ον***: such as, what sort
παραλαμβάνω: to receive from
ποιέω: to make
πωγωνοτροφία, ***ἡ***: letting the beard grow
σύμβολον, ***τό***: a sign
τριβωνοφορία, ***ἡ***: the wearing of a cloak
ὑποδηλόω: to show privately, hint at
φανερός, ***-ά***, ***-όν***: open to sight, visible
φιλοσοφέω: to love knowledge, philosophise
φιλόσοφος, ***ὁ***: a philosopher

ὑποδηλοῦντα: pres. part. attrib., "these things *hinting at*"
οἷα ... ἀποφαίνεται: pass., "such things *as are shown forth*"
τούτοις: dat. instrumental, "being adorned *with these* (garments)"
τοὺς ἀποθανόντας Ἰσιακοὺς: aor. part. attrib., "*the dead devotees of Isis* being adorned"
εἶναι ... βαδίζειν: pres. inf. in ind. stat. after ***σύμβολόν***, "a sign *that they are ... that they go*"
ἔχοντας: pres. part. circumstantial, "they go *having* this sacred lore"
ἄλλο δὲ μηδὲν: "this *and nothing else*"
φιλοσόφους ... Ἰσιακοὺς: acc. pred., "neither make (men) *philosophers ... nor* make men *followers of Isis*"
ὡς ἀληθῶς: "the one who is *truly* a follower of Isis"
ὁ ... ζητῶν καὶ φιλοσοφῶν: a predicate phrase, "is the one seeking and philosophizing"
νόμῳ ... λόγῳ: dat. of manner, "receives *in the customary way* ... seeking *with reason*"
παραλάβῃ: aor. subj. in general temporal clause, "whenever he receives" i.e. by seeing or hearing
ἐν αὐτοῖς: "the truth *in these things*" i.e. in the things shown and done to the initiate

4. ἐπεὶ τούς γε πολλοὺς καὶ τὸ κοινότατον τοῦτο καὶ σμικρότατον λέληθεν, ἐφ᾽ ὅτῳ τὰς τρίχας οἱ ἱερεῖς ἀποτίθενται καὶ λινᾶς ἐσθῆτας φοροῦσιν· οἱ μὲν οὐδ᾽ ὅλως φροντίζουσιν εἰδέναι περὶ τούτων, οἱ δὲ τῶν μὲν ἐρίων ὥσπερ τῶν κρεῶν σεβομένους τὸ πρόβατον ἀπέχεσθαι λέγουσι, ξύρεσθαι δὲ τὰς κεφαλὰς διὰ τὸ πένθος, φορεῖν δὲ τὰ λινᾶ διὰ τὴν χρόαν, ἣν τὸ λίνον ἀνθοῦν ἀνίησι τῇ περιεχούσῃ τὸν κόσμον αἰθερίῳ χαροπότητι



An Egyptian priest: 6th dynasty

αἰθέριος, *-**α***, *-**ον***: of the upper air, ethereal
ἀνθέω: to blossom, bloom
ἀνίημι: to send up or forth
ἀπέχομαι: to keep away from
ἀποτίθημι: to put away
ἔριον, ***τό***: wool
ἐσθής, *-**ῆτος***, ***ἡ***: dress, clothing, raiment
θρίξ, ***τριχός***, ***ἡ***: the hair of the head
ἱερεύς, *-**εως***, ***ὁ***: a priest, sacrificer
κεφαλή, ***ἡ***: the head
κοινότατος, *-**η***, *-**ον***: most common
κόσμος, ***ὁ***: the cosmos
κρέας, ***τό***: flesh
λανθάνω: to escape notice
λέγω: to say, speak
λίνεος, *-**α***, *-**ον***: flaxen, linen
λινόν, ***τό***: the flax plant
μικρός, *-**ά***, *-**όν***: small, little
ξυρέω: to shave
ὅλως: *(adv.)* wholely, entirely
πένθος, *-**εος***, ***τό***: grief, sorrow
περιέχω: to encompass, surround
πολύς, ***πολλά***, ***πολύ***: many
πρόβατον, ***τό***: a sheep
σέβομαι: to feel awe or fear, revere
σμικρότατος *-**η***, *-**ον***: smallest, very small
φορέω: to bear or carry constantly, wear
φροντίζω: to have a care to + *inf.*
χαροπότης, *-**ητος***, ***ἡ***: a light-blue colour
χρόα, ***ἡ***: the skin, color

λέληθεν: perf. of ***λανθάνω***, "this *has escaped the notice of* the many"
ἐφ᾽ ὅτῳ: introducing ind. quest, "failed to notice *for what reason* they cut off"
οἱ μὲν ... οἱ δὲ: "*while some* care not at all ... *others* claim (incorrectly)" the second group's claims are divided by another ***μὲν ... δὲ***
εἰδέναι: aor. inf. of ***οἶδα***, "do not care *to know*"
τῶν μὲν ἐρίων: gen. of separation after ***ἀπέχεσθαι***, "to keep away *from wool*"
ὥσπερ τῶν κρεῶν: "*just as* they keep away *from* mutton"
σεβομένους: pres. part. acc. causal agreeing with the subject of the infinitives after ***λέγουσι***, "(the priests) *because revering* the sheep"
διὰ τὸ πένθος: "because of grief (for the sheep)" since cutting hair is a sign of grief
ἀνθοῦν: pres. part. temporal, "*at the time of blooming* sends up"
τῇ περιεχούσῃ ... χαροπότητι: dat., "resembling *the light-blue color surrounding* the cosmos"

προσεοικυῖαν. ἡ δ' ἀληθὴς αἰτία μία πάντων ἐστί· «καθαροῦ γάρ» ᾗ φησιν ὁ Πλάτων «οὐ θεμιτὸν ἅπτεσθαι μὴ καθαρῷ.» περίττωμα δὲ τροφῆς καὶ σκύβαλον οὐδὲν ἁγνὸν οὐδὲ καθαρόν ἐστιν· ἐκ δὲ περιττωμάτων ἔρια καὶ λάχναι καὶ τρίχες καὶ ὄνυχες ἀναφύονται καὶ βλαστάνουσι. γελοῖον οὖν ἦν τὰς μὲν αὐτῶν τρίχας ἐν ταῖς ἁγνείαις ἀποτίθεσθαι ξυρωμένους καὶ λειαινομένους πᾶν ὁμαλῶς τὸ σῶμα, τὰς δὲ τῶν θρεμμάτων ἀμπέχεσθαι καὶ φορεῖν· καὶ γὰρ τὸν Ἡσίοδον οἴεσθαι δεῖ

ἁγνεία, **ἡ**: purity, chastity
ἁγνός, **-ή**, **-όν**: sacred
αἰτία, **ἡ**: a cause, reason for + *gen.*
ἀληθής, **-ές**: true
ἀμπέχω: to surround, cover
ἀναφύω: to grow up
ἀποτίθημι: to put away, stow away
ἅπτομαι: to touch + *gen.*
βλαστάνω: to bud, sprout, grow
γέλοιος, **-α**, **-ον**: laughable, absurd
εἷς, **μία**, **ἕν**: one
ἔριον, **τό**: wool
θεμιτός, **-ή**, **-όν**: allowed, permitted + *dat.*
θρέμμα, **-ατος**, **τό**: a creature
θρίξ, **τριχός**, **ἡ**: the hair of the head
καθαρός, **-ά**, **-όν**: pure
λάχνη, **ἡ**: soft hair, down
λεαίνω: to smooth or polish
ξυρέω: to shave
ὁμαλῶς: *(adv.)* evenly, smoothly
ὄνυξ, **-οκος**, **ὁ**: claw, talon
πάς, **πᾶσα**, **πᾶν**: all, every
περίττωμα, **-ατος**, **τό**: an excess, surplus
Πλάτων, **-ωνος**, **ὁ**: Plato of Athens (428-348)
προσέοικα: to be like, resemble + *dat. (perf.)*
σκύβαλον, **τό**: refuse
σῶμα, **τὸ**: the body
τροφή, **ἡ**: nourishment, growth
φημί: to declare, make known
φορέω: to wear

προσεοικυῖαν: perf. part. agreeing with **τὴν χρόαν** "the color *resembling*" + *dat.*
αἰτία μία: Plutarch here gives the real reason as opposed to the previous speculations
ὁ Πλάτων: *Phaedo* 67b
ἅπτεσθαι: pres. inf. after **θεμιτὸν**, "(it is) not permitted *to touch* the pure"
γελοῖον οὖν ἦν: the imperfect here has contrafactual force (Smyth 2313) with the protasis expressed with the infinitive "*so it would be absurd (*if) they were to cut off "
αὐτῶν: (= **ἑαυτῶν**) reflexive, "*their own* hairs"
ξυρωμένους καὶ λειαινομένους: pres. part. mid. circum. agreeing with the acc. subject of the infinitives in the sentence, "absurd for them *having shaved and polished themselves* to cut off"
τὸ σῶμα: acc. of respect, "in their whole body"
τὰς δὲ τῶν θρεμμάτων: "the (hairs) of animals" i.e. the wool of sheep

λέγοντα (*Works and Days* 742-3):

> μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
> αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ,

διδάσκειν ὅτι δεῖ καθαροὺς τῶν τοιούτων γενομένους ἑορτάζειν, οὐκ ἐν αὐταῖς ταῖς ἱερουργίαις χρῆσθαι καθάρσει καὶ ἀφαιρέσει τῶν περιττωμάτων. τὸ δὲ λίνον φύεται μὲν ἐξ ἀθανάτου τῆς γῆς καὶ καρπὸν ἐδώδιμον ἀναδίδωσι, λιτὴν δὲ παρέχει καὶ καθαρὰν ἐσθῆτα καὶ τῷ σκέποντι μὴ

ἀθάνατος, **-ον**: undying, immortal
αἴθων, **-ωνος**, **ὁ**: fiery, blazing
ἀναδίδωμι: to give in return
αὖος, **-η**, **-ον**: dry
ἀφαίρεσις, **-εως**, **ἡ**: a taking away, carrying off
γῆ, **γῆς**, **ἡ**: the earth
γίνομαι: to become
δαίς, **δαιτός**, **ἡ**: a meal, banquet
δεῖ: it is necessary + *inf.*
διδάσκω: to teach
ἐδώδιμος, **-ον**: edible
ἑορτάζω: to celebrate a (religious) festival
ἐσθής, **-ῆτος**, **ἡ**: clothing
Ἡσίοδος, **ὁ**: Hesiod the epic poet
θάλεια: (*adj.*) blooming, luxuriant
ἱερουργία, **ἡ**: religious service
κάθαρσις, **-εως**, **ἡ**: a cleansing
καρπός, **ὁ**: fruit
λέγω: to say, speak
λιτός, **-ή**, **-όν**: smooth, plain
οἴομαι: to suppose, think
παρέχω: to furnish, provide, supply
πέντοζος, **-οιο**, **ὁ**: with five branches
περίττωμα, **-ατος**, **τό**: an excess, surplus
σίδηρος, **ὁ**: iron (implement)
σκέπω: to protect, shelter
τάμνω: to cut, hew
τοιοῦτος, **-αύτη**, **-οῦτο**: such as this
φύω: to bring forth, grow
χλωρός, **-ά**, **-όν**: green, fresh
χράομαι: to use + *dat.*

λέγοντα: circum., "him *when he says*"
ἀπὸ πεντόζοιο: "from the five-branched" i.e. from the hand
τάμνειν: pres. inf. used as an imperative, "don't cut!"
αὖον ἀπὸ χλωροῦ: "the dry from the fresh" i.e. the nail from the growing part of the finger
διδάσκειν: ind. stat. after **οἴεσθαι**, "suppose *that he teaches* that it is necessary"
τῶν τοιούτων: gen. of separation after **καθαροὺς**, "become pure *of such things*" i.e. of surplus matter such as fingernails
γενομένους: aor. part. temporal, "*once they became* pure"
ἐν αὐταῖς ταῖς ἱερουργίαις: "not *in the ceremonies themselves*" i.e. to become clean before the sacrifice, not during
καρπὸν: "the fruit" of the linen plant is the seed used to make oil
τῷ σκέποντι: pres. part. attrib. comitative dat. (Smyth 1527), "weighing down *with its covering*"

βαρύνουσαν, εὐάρμοστον δὲ πρὸς πᾶσαν ὥραν, ἥκιστα δὲ φθειροποιόν, ὡς λέγουσι· περὶ ὧν ἕτερος λόγος.

βαρύνω: to weigh down
εὐάρμοστος, ***-ον***: well-suited for (***πρὸς***)
ἥκιστα: *(adv.)* least
πάς, ***πᾶσα***, ***πᾶν***: all, every
φθειροποιός, ***-όν***: producing lice
ὥρα, ***ἡ***: a season

ὡς λέγουσι: indicating a commonplace, "as they say"
ἕτερος λόγος: "there is another account" i.e. elsewhere in Plutarch's works

Participles: General Principles

Plutarch makes heavy use of participles, which fall into three broad classes of use, with many other distinctions:

1. Attributive participles modify a noun or pronoun like other adjectives. They can occur with an article in the attributive position, in which case they are often used substantively, or with no article:

   τοὺς νοῦν ἔχοντας: "those *possessing* sense"
   τοὺς ἀποθανόντας Ἰσιακοὺς: "the *dead* devotees of Isis"

   ἔστι δὲ πρόσφορον οὔθ' ἁγνεύουσιν οὔθ' ἑορτάζουσι: "this is serviceable *neither to those performing ceremonies nor to those feasting*

2. Circumstantial participles are added to a noun or pronoun to set forth some circumstance under which an action takes place. Although agreeing with a noun or pronoun, these participles actually qualify the verb in a sentence, indicating time, manner, means, cause, purpose, concession, condition or attendant circumstance. Circumstantial participles can occur in the genitive absolute construction:

   (φασὶ) ἐρῶντα δὲ τὸν Ἑρμῆν τῆς θεοῦ συνελθεῖν, εἶτα παίξαντα πέττια πρὸς τὴν Σελήνην καὶ ἀφελόντα τῶν φώτων ἑκάστου τὸ ἑβδομηκοστὸν δεύτερον ἐκ πάντων ἡμέρας πέντε συνελεῖν: "(they say) that Hermes, *because loving* the goddess, consorted with her, then that *after playing draughts* with the Moon and *having won* a seventy-second part of each of her illuminations, he put together five days.

   For more examples, see p. 27.

3. Supplementary participles complete the idea of certain verbs. Often it is the participle itself that expresses the main action:
   (φασὶ) τὰ δὲ τυχεῖν ἑωρακότα: "(they say) that these (children) happened *to have seen*"

   The participial form of indirect discourse after verbs of showing and perceiving is a special class of supplementary participles.

5. οἱ δ' ἱερεῖς οὕτω δυσχεραίνουσι τὴν τῶν περιττωμάτων φύσιν, ὥστε μὴ μόνον παραιτεῖσθαι τῶν ὀσπρίων τὰ πολλὰ καὶ τῶν κρεῶν τὰ μήλεια καὶ ὕεια, πολλὴν ποιοῦντα περίττωσιν, ἀλλὰ καὶ τοὺς ἄλας τῶν σιτίων ἐν ταῖς ἁγνείαις ἀφαιρεῖν, ἄλλας τε πλείονας αἰτίας ἔχοντας καὶ τὸ ποτικωτέρους καὶ βρωτικωτέρους ποιεῖν ἐπιθήγοντας τὴν ὄρεξιν. τὸ γάρ, ὡς Ἀρισταγόρας ἔλεγε, διὰ τὸ πηγνυμένοις πολλὰ τῶν μικρῶν ζῴων ἐναποθνήσκειν ἁλισκόμενα μὴ καθαροὺς λογίζεσθαι τοὺς ἄλας εὔηθές ἐστι.

ἁγνείαι, **αἱ**: ceremonies
αἰτία, **ἡ**: a reason
ἅλες, **ἁλῶν**, **αἱ**: salt
ἁλίσκομαι: to be taken, conquered
ἀφαιρέω: to remove X *(acc.)* from Y *(gen.)*
βρωτικώτερος, **-α**, **-όν**: more voracious
δυσχεραίνω: to feel disgust at + *acc.*
ἐναποθνήσκω: to die in a place
ἐπιθήγω: to whet, sharpen
εὐήθης, **-ες**: simpleminded, guileless
ἔχω: to have, hold
ζῷον, **τό**: a living being, animal
ἱερεύς, **-εως**, **ὁ**: a priest, sacrificer
καθαρός, **-ά**, **-όν**: clean, unsoiled
κρέας, **τό**: flesh, meat, a piece of meat
λογίζομαι: to reckon, believe
μήλειος, **-ον**: of a sheep
μικρός, **-ά**, **-όν**: small, little
ὄρεξις, **-εως**, **ἡ**: desire, appetite
ὄσπριον, **τό**: a pulse or grunt fish
παραιτέομαι: to decline, refuse + *acc.*
περίσττωμα, **-ατος**, **τό**: an excess, surplus
περίττωσις, **-εως**, **ἡ**: superfluity
πήγνυμι: to make fast, crystalize
ποτικώτερος, **-α**, **-ον**: more fond of drinking
σιτίον, **τό**: grain, food
ὕειος, **-α**, **-ον**: of swine
φύσις, **ἡ**: the nature, natural qualities

μὴ μόνον ... ἀλλὰ καὶ: "so that *not only ... but also*"

παραιτεῖσθαι ... ἀφαιρεῖν: pres. inf. result with **ὥστε**, "so that they refuse ... remove"

τὰ πολλὰ ... τὰ μήλεια καὶ ὕεια: "of pulse fish they refuse *most kinds*, and of meats *that of sheep and swine*"

ποιοῦντα: pres. part. neut. pl. causal, "*because they make* much superfluity " i.e. fatty tissue

ἄλλας τε ... καὶ:· "having *other* reasons *and also*"

ποιεῖν: pres. inf. articular, "because *the making* more fond of drinking" with the same subject as **ἔχοντας**

ἐπιθήγοντας: pres. part. instrumental, "*by sharpening* the appetite"

τὸ γάρ: "*for this* (belief)" anticipating the articular infinitive **λογίζεσθαι** which is the subject of **ἐστι**

ὡς Ἀρισταγόρας: 4th C. Greek author of an *Aegyptiaka*

πηγνυμένοις: pres. part. pass. attrib., "dying in the (salts') *crystallizations*"

ἐναποθνήσκειν: pres. inf. articular with **διὰ**: "on account of many *dying in*"

ἁλισκόμενα: pres. part. neut. pl. "many *being caught*"

μὴ καθαροὺς: acc. pred., "that salt is *not clean*"

The uses of the word **ὡς** (**ὥσπερ**)

1. in comparisons: **ὡς ἐν ἀνθρώποις**, "just as in men"
2. in examples: **ὡς τό** "**τρισμάκαρες**" "as for example the expression 'thrice blessed'"
3. limiting parenthetical phrases: **ὡς λέγουσι** "so they say"; **ὡς ἔοικε**, "so it seems" **ὡς ἁπλῶς εἰπεῖν**: "to speak simply"; **ὥσπερ εἴρηται**, "as has been said (above)"
4. with adverbs: **ὡς ἀληθῶς** "truly"
5. with superlatives: **ὡς μάλιστα**, "as much as possible"
6. indicating an erroneous belief (usually with a causal participle, see below)

   τῇ ἀδελφῇ ἐρῶντα ... ὡς ἑαυτῇ, "loving her sister *as though it were herself*"

   ὡς φίλιον θεοῖς "*as if it were friendly* to the gods"
7. expressing purpose with a participle (usually future): **ὀνομάζεται γὰρ Ἰσεῖον ὡς εἰσομένων** (sc. **ἡμῶν**) **τὸ ὄν**. "for it is called Iseion *so that we will know* reality"
8. causal with participle or indicative. In this case, the cause or motive is attributed to someone in the sentence but does not necessarily express the opinion of the author. Sometimes it can suggest an erroneous opinion ("as if" or "as though"). This is to be contrasted with the same construction with **ἅτε** or **οἷον** (or **ὅια**), which state the cause on the authority of the speaker (but not always).

   a. causal with participle:

   ὡς οὐ προσῆκον, "since it is not fitting"

   διδόναι ... ὡς διδοῦσαν, "that she gave *as though she were giving*"

   ὡς τῇ φύσει γεγονότας ἀνθρώπους, "as though they were men by nature"

   also in the genitive absolute

   ὡς τῶν δαιμόνων μικτὴν φύσιν ἐχόντων, "as though demons have a mixed nature"

   ὡς δὴ πάλαι γεγονότων, "as though they had been born long ago"

   ὡς ἱκανῶς παρασκευασαμένου τοῦ Ὥρου: "because Horus was sufficiently prepared"

   b. causal with the indicative:

   ἐγκραγοῦσαν, ὡς εἶδε: "crying out *because she saw*" (or thought she saw)
9. introducing indirect statement with the indicative (like **ὅτι**) or a participle.

   a. with the indicative:

   λόγον ἐπιλέγουσιν, ὡς ὁ Τυφὼν ... εὗρε, "they narrate a story *that Typhon found*"

   πυθέσθαι ὡς ... ὁ κλύδων προσέμιξεν: learned *that a wave had washed it ashore*"

   λέγεσθαί ὡς δεινὰ ... εἰργάσατο, "told that *he had done terrible things*"

   διδάσκοντες ἡμᾶς ὡς ... χρὴ νομίζειν, "teaching us *that it is necessary* to believe"

   b. with the participle (often in genitive absolute construction)

   ὡς ἀληθῶς πραχθέντα καὶ συμπεσόντα δοξάζουσι: "they believe that these things *were actually done and truly happened*"

[353] λέγονται δὲ καὶ τὸν Ἆπιν ἐκ φρέατος ἰδίου ποτίζειν, τοῦ δὲ Νείλου παντάπασιν ἀπείργειν, οὐ μιαρὸν ἡγούμενοι τὸ ὕδωρ διὰ τὸν κροκόδειλον, ὡς ἔνιοι νομίζουσιν (οὐδὲν γὰρ οὕτως ἐν τιμῇ Αἰγυπτίοις ὡς ὁ Νεῖλος)· ἀλλὰ πιαίνειν δοκεῖ καὶ μάλιστα πολυσαρκίαν ποιεῖν τὸ Νειλῷον ὕδωρ πινόμενον· οὐ βούλονται δὲ τὸν Ἆπιν οὕτως ἔχειν οὐδ' ἑαυτούς, ἀλλ' εὐσταλῆ καὶ κοῦφα ταῖς ψυχαῖς περικεῖσθαι τὰ σώματα καὶ μὴ πιέζειν μηδὲ καταθλίβειν ἰσχύοντι τῷ θνητῷ καὶ βαρύνοντι τὸ θεῖον.

Apis bull on coffin

Αἰγύπτιος, **ὁ**: an Egyptian
ἀπείργω: to keep away X *(acc.)* from Y *(gen.)*
βαρύνω: to weigh down
βούλομαι: to wish X *(acc.)* to Y *(inf.)*
δοκέω: to seem to + *inf.*
ἔνιοι, **-αι**, **-α**: some
εὐσταλής, **-ές**: compact, orderly
ἡγέομαι: to consider
θεῖον, **τὸ**: the divine
θνητός, **-ή**, **-όν**: mortal
ἴδιος, **-α**, **-ον**: one's own
ἰσχύω: to be strong
καταθλίβω: to press down, oppress
κοῦφος, **-η**, **-ον**: light, nimble
κροκόδειλος, **ὁ**: the crocodile
μάλιστα: *(adv.)* especially
μιαρός, **-ά**, **-όν**: stained, polluted
Νειλαῖος, **-α**, **-ον**: from the Nile
Νεῖλος, **-ου**, **ὁ**: the Nile
νομίζω: to think, believe
παντάπασι: *(adv.)* all in all, wholly
περίκειμαι: to lie round about, enshroud + *dat.*
πιαίνω: to make fat, fatten
πιέζω: to press, press tight
πίνω: to drink
πολυσαρκία, **ἡ**: fleshiness, plumpness
ποτίζω: to give to drink
σῶμα, **-ατος**, **τό**: the body
τιμή, **ἡ**: value, honor
ὕδωρ, **τό**: water
φρέαρ, **φρέατος**, **τό**: a well
ψυχή, **ἡ**: the soul

λέγονται: introducing personal ind. stat., "*they are said* to water Apis"
τὸν Ἆπιν: the sacred bull of Memphis where he was considered an earthly manifestation of the god Ptah.
ἡγούμενοι: pres. part. causal, "not *because thinking* the water stained"
οὕτως ... **ὡς**: "*so much* in honor *as*"
οὕτως ἔχειν: "to be in such a state" i.e. fat
οὐδ' ἑαυτούς: also subject of **ἔχειν**, "*nor themselves* to be such"
τῷ θνητῷ: dat. instrumental, "weigh down the divine *with the mortal part*"

6. οἶνον δ' οἱ μὲν ἐν Ἡλίου πόλει θεραπεύοντες τὸν θεὸν οὐκ εἰσφέρουσι τὸ παράπαν εἰς τὸ ἱερόν, ὡς οὐ προσῆκον ἡμέρας πίνειν τοῦ κυρίου καὶ βασιλέως ἐφορῶντος· οἱ δ' ἄλλοι χρῶνται μὲν ὀλίγῳ δέ. πολλὰς δ' ἀοίνους ἁγνείας ἔχουσιν, ἐν αἷς φιλοσοφοῦντες καὶ μανθάνοντες καὶ διδάσκοντες τὰ θεῖα διατελοῦσιν. οἱ δὲ βασιλεῖς καὶ μετρητὸν ἔπινον ἐκ τῶν ἱερῶν γραμμάτων, ὡς Ἑκαταῖος ἱστόρηκεν, ἱερεῖς ὄντες· ἤρξαντο δὲ πίνειν ἀπὸ Ψαμμητίχου, πρότερον δ' οὐκ ἔπινον

ἁγνείαι, **αἱ**: ceremonies
ἄλλος, **-η**, **-ον**: other, another
ἄοινος, **-ον**: without wine
ἄρχομαι: to begin to + *inf.*
βασιλεύς, **-έως**, **ὁ**: a king, pharaoh
γράμμα, **-ατος**, **τό**: a writing
διατελέω: to perform, accomplish
διδάσκω: to teach
εἰσφέρω: to introduce into
ἐφοράω: to oversee, observe
ἥμερα, **ἡ**: a day
θεραπεύω: to be an attendant, do service
ἱερόν, **τό**: the temple
ἱστορέω: to record
κύριος, **ὁ**: a lord, master
μανθάνω: to learn
μετρητός, **-ή**, **-όν**: measured
οἶνος, **ὁ**: wine
ὀλίγος, **-η**, **-ον**: little, scanty
πίνω: to drink
πόλις, **ἡ**: a city
προσήκω: to be fitting
πρότερον: *(adv.)* previously
ὑπηρέτης, **-ου**, **ὁ**: a servant
φιλοσοφέω: to philosophise
χράομαι: to use + *dat.*

ἐν Ἡλίου πόλει: "in Heliopolis" in lower Egypt

οὐκ ...τὸ παράπαν: adverbial, "not at all"

ὡς οὐ προσῆκον: pres. part. impersonal causal, "since it not being fitting" + *inf.*

ἡμέρας: gen. of time within which, "in the course of the day" i.e. when services were performed

ἐφορῶντος: pres. part. gen. abs., "with the lord *observing*"

γίνεται κραυγὴ ὡς εὑρημένου τοῦ Ὀσίριδος: "there is a cry *that Orisis has been found*"

οἱ δ' ἄλλοι: corresponding to **οἱ μὲν** above and meaning attendants elsewhere than Heliopolis, who use wine, but very little

ἔπινον: impf., "are accustomed to drink"

ὡς Ἑκαταῖος: Hecataeus of Abdera (d. 290 BCE), author of an *Aegyptiaka,* whom Plutarch mentions again in 9 below

ἐκ τῶν ἱερῶν γραμμάτων: "in accordance with the sacred writings"

ὄντες: causal, "*since they are* priests"

ἀπὸ Ψαμμητίχου: "from the time of Psammetichus" the name of three pharaohs, the first of whom died in 610 BCE, whose Egyptian name refers to wine drinking, although he was certainly not the first to drink wine

οἶνον οὐδ' ἔσπενδον ὡς φίλιον θεοῖς, ἀλλ' ὡς αἷμα τῶν πολεμησάντων ποτὲ τοῖς θεοῖς, ἐξ ὧν οἴονται πεσόντων καὶ τῇ γῇ συμμιγέντων ἀμπέλους γενέσθαι· διὸ καὶ τὸ μεθύειν ἔκφρονας ποιεῖν καὶ παραπλῆγας, ἅτε δὴ τῶν προγόνων τοῦ αἵματος ἐμπιπλαμένους. ταῦτα μὲν οὖν Εὔδοξος ἐν τῇ δευτέρᾳ τῆς περιόδου λέγεσθαί φησιν οὕτως ὑπὸ τῶν ἱερέων.

αἷμα, **-ατος**, **τό**: blood
ἄμπελος, **ἡ**: clasping tendrils
ἅτε: on the grounds that + *part.*
γῆ, **ἡ**: earth
γίνομαι: to become
δεύτερος, **-α**, **-ον**: second
ἔκφρων, **-ον**: out of one's mind, senseless
ἐμπίπλημι: to fill quite full of + *gen.*
θεός, **ὁ**: a god
ἱερεύς, **-εως**, **ὁ**: a priest
μεθύω: to be drunk with wine
οἴομαι: to suppose, think
παραπλήξ, **-ῆγος** *(gen.)*: paralyzed, demented
περίοδος, **ἡ**: a going round
πίπτω: to fall, fall down
πολεμέω: to be at war
ποτέ: *(adv.)* at some time, once
πρόγονος, **-ον**: a forefather, ancestor
σπένδω: to make a libation
συμμίγνυμι: to mix together
φίλιος, **-α**, **-ον**:, friendly to + *dat.*

ὡς φίλιον: "*as if it were friendly* to the gods" i.e. as the Greeks believed in their own practices

ἀλλ' ὡς αἷμα: "but rather as the blood" i.e. when they did pour libations, this was their motivation

τῶν πολεμησάντων: aor. part. attrib., "the blood *of those who had made war* once against the gods"

πεσόντων: aor. part. temporal, "from which (blood) *once they had fallen*"

συμμιγέντων: aor. part. pass. temporal., "from which (blood) *once they had become mingled*"

γενέσθαι: aor. inf. after **οἴονται**, "they thought vines *became*" i.e. grew from the blood. This idea seems to have been transferred to Egypt from a Greek story about Dionysus

ἐμπιπλαμένους: pres. part. causal with **ἅτε δὴ**, "on the grounds *that they were quite full of*" Gwyn Griffiths cites "The Deliverance of Mankind from Destruction" an Egyptian story in which beer is substituted for blood as the source for this notion.

Εὔδοξος: Eudoxus of Cnidus (d. 340 BCE), a mathematician who visited Egypt, whom Plutarch cites several times and who seems to be one of his main sources. He is reputed to have known the Egyptian language.

τῆς περιόδου: (sc. **γῆς**) "2nd book of the *Circumnavigation* (of the world)," but such a work is attributed to the navigator Eudoxus of Cyzicus (fl. 130 BCE), not to Eudoxus of Cnidus.

7. ἰχθύων δὲ θαλαττίων πάντες μὲν οὐ πάντων ἀλλ' ἐνίων ἀπέχονται, καθάπερ Ὀξυρυγχῖται τῶν ἀπ' ἀγκίστρου· σεβόμενοι γὰρ τὸν ὀξύρυγχον ἰχθὺν δεδίασι μή ποτε τὸ ἄγκιστρον οὐ καθαρόν ἐστιν ὀξυρύγχου περιπεσόντος αὐτῷ· Συηνῖται δὲ φάγρου· δοκεῖ γὰρ ἐπιόντι τῷ Νείλῳ συνεπιφαίνεσθαι καὶ τὴν αὔξησιν ἀσμένοις φράζειν αὐτάγγελος ὁρώμενος. οἱ δ' ἱερεῖς ἀπέχονται πάντων·

ἄγκιστρον, ***τό***: a fish-hook
ἀπέχομαι: to keep away from + *gen.*
ἄσμενος, ***-η***, ***-ον***: well-pleased, glad
αὔξησις, ***-εως***, ***ἡ***: growth, increase
αὐτάγγελος, ***ὁ***: carrying one's own message, a harbinger
δέδια: to fear *(perf.)*
δοκέω: to seem to + *inf.*
ἔνιοι, ***-αι***, ***-α***: some
ἔπειμι: to approach *(fut.)*
θαλάττιος, ***-α***, ***-ον***: from the sea
ἰχθύς, ***-υός***, ***ὁ***: a fish
καθάπερ: just as
Ὀξυρυγχῖται, ***οἱ***: inhabitants of Oxyrynchus
ὀξύρυγχος, ***-ον***: sharp-nosed
ὁράω: to see
πάς, ***πᾶσα***, ***πᾶν***: all, every
περιπίπτω: to fall in with, encounter + *dat.*
σέβομαι: to feel awe, revere
Συηνῖται, ***οἱ***: inhabitants of Syene
συνεπιφαίνομαι: to appear together
φάγρος, ***ὁ***: the sea-bream fish
φράζω: to point out, show, indicate

τῶν ἀπ' ἀγκίστρου: "keep away from *those* (fish) *from a hook*" i.e. caught with a hook
μή ποτε ... ἐστιν: object clause after verb of fearing in the indicative and hence referring to the present rather than the future (Smyth 2233), "lest there be"
περιπεσόντος: aor. part. gen. abs., "on the occasion of the fish *having encountered* it"
φάγρου: sc. ***ἀπέχονται***
δοκεῖ: personal, "the sea-bream *seems* to appear"
ἐπιόντι: pres. part., "to appear with *the rising* Nile"
ἀσμένοις: pres. part. dat., "indicate to them *being glad*"
ὁρώμενος: pres. part. pass, "as it (the sea bream) is being seen"

Articular Infinitives

Articular infinitives form a noun with the neuter case of the definite article. Any case can occur. If expressed, the subject is usually accusative:

τὸ εἰδέναι: "the knowing"

διὰ τὸ πηγνυμένοις πολλὰ τῶν μικρῶν ζῴων ἐναποθνήσκειν: "*because of* the many small reatures *dying* in the crystallizations"

τοῦ δ' ἀληθῆ δόξαν ἔχειν περὶ θεῶν μηδὲν οἰομένη μᾶλλον: "thinking nothing better than *having* a true opinion about the gods"

πρώτου δὲ μηνὸς ἐνάτῃ τῶν ἄλλων Αἰγυπτίων ἑκάστου πρὸ τῆς αὐλείου θύρας ὀπτὸν ἰχθὺν κατεσθίοντος οἱ ἱερεῖς οὐ γεύονται μὲν κατακαίουσι δὲ πρὸ τῶν θυρῶν τοὺς ἰχθῦς, δύο λόγους ἔχοντες, ὧν τὸν μὲν ἱερὸν καὶ περιττὸν αὖθις ἀναλήψομαι συνᾴδοντα τοῖς περὶ Ὀσίριδος καὶ Τυφῶνος ὁσίως φιλοσοφουμένοις, ὁ δ' ἐμφανὴς καὶ πρόχειρος οὐκ ἀναγκαῖον οὐδὲ περίεργον ὄψον ἀποφαίνων τὸν ἰχθὺν Ὁμήρῳ μαρτυρεῖ μήτε Φαίακας τοὺς ἁβροβίους μήτε τοὺς Ἰθακησίους

ἁβρόβιος*, *-ον: living delicately, effeminate
ἄλλος*, *-η*, *-ον: other, another
ἀναγκαῖος*, *-ον: necessary
ἀναλαμβάνω: to take into one's hands
ἀποφαίνω: to show forth, declare
αὖθις: *(adv.)* back, back again
αὔλειος*, *-ον: of the court
γεύομαι: to taste
ἕκαστος*, *-η*, *-ον: every one, each
ἐμφανής*, *-ές: obvious
ἔνατος*, *-η*, *-ον: ninth
θύρα*, *ἡ: a door
Ἰθακήσιος*, *-α*, *-ον: of Ithaca
κατακαίω: to burn completely
κατεσθίω: to eat up, devour
λόγος*, *ὁ: a reason, explanation
μαρτυρέω: to testify, confirm + *dat.*
μείς*, *μηνός*, *ὁ: a month
ὀπτός*, *-ή*, *-όν: roasted, broiled
ὁσίως: *(adv.)* in a hallowed manner
ὄψον*, *τό: cooked meat
περίεργος*, *-ον: overwrought
περιττός*, *-ή*, *-όν: quite extraordinary
πρόχειρος*, *-ον: at hand, ready
πρῶτος*, *-η*, *-ον: first.
συνᾴδω: to sing with, be in harmony with
Φαίαξ*, *-ακος*, *ὁ: a Phaeacian
φιλοσοφέω: to love knowledge, philosophise

πρώτου δὲ μηνὸς ἐνάτῃ: (sc. ***ἡμερᾷ***), "on the ninth (day) of the first month" i.e. the month of Thoth, the ninth day being roughly August 23

κατεσθίοντος: pres. part. gen. abs., "while each of the rest *are eating*"

ὧν τὸν μὲν ... ὁ δ': "two explanations *of which one ... the second*"

αὖθις ἀναλήψομαι: fut. of ***ἀναλαμβάνω***, "one *I will take up again*" below in section 32

συνᾴδοντα: pres. part. acc., "the one reason *being in harmony with*" + *dat.*

τοῖς ... φιλοσοφουμένοις: pres. part. attrib. after ***συνᾴδοντα***, "with *those philosophizing*"

ὁ δ' ἐμφανὴς: "the other (explanation) is obvious"

οὐκ ἀναγκαῖον οὐδὲ περίεργον ὄψον: acc. pred., "declaring that fish (is) *not necessary nor overwrought cooked meat*" i.e. it is neither a necessity nor a luxury

Ὁμήρῳ μαρτυρεῖ: "(this explanation) confirms Homer"

μήτε Φαίακας ... μήτε τοὺς Ἰθακησίους: "that neither the Phaeacians ... nor the Ithacans" the first being an example of people who lived in luxury, the latter people who only ate fish out of necessity.

ἀνθρώπους νησιώτας ἰχθύσι χρωμένους ποιοῦντι μήτε τοὺς Ὀδυσσέως ἑταίρους ἐν πλῷ τοσούτῳ καὶ ἐν θαλάττῃ πρὶν εἰς ἐσχάτην ἐλθεῖν ἀπορίαν. ὅλως δὲ καὶ τὴν θάλατταν ἐκ πυρός ἡγοῦνται καὶ παρωρισμένην, οὐδὲ μέρος οὐδὲ στοιχεῖον ἀλλ' ἀλλοῖον περίττωμα διεφθορὸς καὶ νοσῶδες.

ἀλλοῖος, **-α**, **-ον**: of another sort
ἀπορία, **ἡ**: difficulty, resourcelessness
διαφθείρω: to destroy utterly
ἔσχατος, **-η**, **-ον**: extreme
ἑταῖρος, **ὁ**: a companion
ἡγέομαι: to consider
ἦλθον: to come or go *(aor.)*
θάλαττα, **ἡ**: the sea
μέρος, **-εος**, **τό**: a part, share
νησιώτης, **-ου**, **ὁ**: an islander
νοσώδης, **-ες**: diseased, baneful
Ὀδυσσεύς, **-έως**, **ὁ**: hero of the Odyssey
ὅλως: *(adv.)* wholly, generally
παρορίζω: to outstep one's boundaries, displace
περίττωμα, **-ατος**, **τό**: an excresence, superfluity
πλόος, **ὁ**: a sailing, voyage
ποιέω: to make, create poetry
πρίν: before + *inf.*
πῦρ, **πυρός**, **τό**: fire
στοιχεῖον, **τό**: a basic component
τοσοῦτος, **-αύτη**, **-οῦτο**: so great

χρωμένους: pres. part. in ind. stat., "poeticizing that neither *customarily use* "
ποιοῦντι: dat., "Homer *poeticizing*" i.e. Homer saying in his epic poem
ἐν πλῷ τοσούτῳ: "nor Odysseus' men *in such a great voyage*"
ἐλθεῖν: aor. inf after **πρὶν**, "before *coming* into extremities" see *Od.* 4. 368-9 and 12. 329-31, where the men fish when the stores become depleted
ἐκ πυρός: a pred. phrase, "consider the sea to be *from fire*"
παρωρισμένην: part. perf. ind. stat., "that is has been displaced" i.e. from the earth
οὐδὲ μέρος οὐδὲ στοιχεῖον: i.e. not one of the four basic elements of air, wind, fire, and earth
διεφθορὸς: perf. part. act. intransitive of **διαφθείρω**, "corrupted"

Note the use of the partitive genitive in the following phrases:

τῶν ὀσπρίων τὰ πολλὰ: "most kinds of pulse fish"
πολλὰ τῶν μικρῶν ζῴων: "many small creatures" = **πολλὰ ζῷα**
πολλὰ τῶν ὀνομάτων: "many names"
τῶν ἀνθρώπων τοὺς πυρροὺς: "ruddy men" lit. "of men the ruddy ones"
τῶν βοῶν τοὺς πυρροὺς: "ruddy bulls"
οἱ δοκιμώτατοι τῶν φιλοσόφων: "the most famous of the philosophers" = **οἱ δοκιμώτατοι φιλοσόφοι**
τῶν Ἑλλήνων οἱ σοφώτατοι: "the wisest of the Greeks"

8. οὐδὲν γὰρ ἄλογον οὐδὲ μυθῶδες οὐδ' ὑπὸ δεισιδαιμονίας, ὥσπερ ἔνιοι νομίζουσιν, ἐγκατεστοιχειοῦτο ταῖς ἱερουργίαις, ἀλλὰ τὰ μὲν ἠθικὰς ἔχοντα καὶ χρειώδεις αἰτίας, τὰ δ' οὐκ ἄμοιρα κομψότητος ἱστορικῆς ἢ φυσικῆς, οἷον τὸ περὶ κρομμύου. τὸ γὰρ ἐμπεσεῖν εἰς τὸν ποταμὸν καὶ ἀπολέσθαι τὸν τῆς Ἴσιδος τρόφιμον Δίκτυν οὐ κρομμύων ἐπιδρασσόμενον ἐσχάτως ἀπίθανον· οἱ δ' ἱερεῖς ἀφοσιοῦνται καὶ δυσχεραίνουσι καὶ τὸ κρόμμυον παραφυλάττοντες,

---

αἰτία, ***ἡ***: a cause, reason
ἄλογος, ***-ον***: illogical
ἄμοιρος, ***-ον***: without share in + *gen.*
ἀπίθανος, ***-ον***: improbable
ἀπόλλυμι: to destroy utterly, kill, slay
ἀφοσιόω: to hold in abomination
δεισιδαιμονία, ***ἡ***: superstition
δυσχεραίνω: to scorn, feel disgust at
ἐγκαταστοιχειόω: to implant X *(acc.)* in Y *(dat.)* as a principle
ἐμπίτνω: fall upon
ἐπιδράσσομαι: to lay hold of + *gen.*
ἐσχάτως: *(adv.)* extremely
ἠθικός, ***-ή***, ***-όν***: moral, ethical
ἱερουργία, ***ἡ***: religious service
ἱστορικός, ***-ή***, ***-όν***: historical
κομψότης, ***-ητος***, ***ἡ***: elegance (of language)
κρόμμυον, ***τό***: an onion
μυθώδης, ***-ες***: legendary, fabulous
νομίζω: to believe, suppose
παραφυλάττω: to observe carefully
ποταμός, ***ὁ***: a river, stream
τρόφιμος, ***ὁ***: a nursling
φυσικός, ***-ή***, ***-όν***: natural, physical
χρειώδης, ***-ες***: needful

ὑπὸ δεισιδαιμονίας: "nor anything (caused) *by superstition*"

ἐγκατεστοιχειοῦτο: impf. pass., "nothing *was implanted in* the religious services"

ἀλλὰ τὰ μὲν ... τὰ δ': "*but rather some* having ... *others* are not"

τὸ περὶ κρομμύου: "such as *the* (story) *about the onion*" which is briefly related next

οὐκ ἀπέοικεν: it is not unfitting

ἐμπεσεῖν ... ἀπολέσθαι: aor. inf. articular, "the falling into ... the being destroyed" the subject of both is ***Δίκτυν***. The story of Dictys, the nursling of Isis, is told below in section 15-17, where he is named Maneros or Pelusius, son of Malcathros. The name Dictys seems to be connected by etymology with the Mesopotamian deity Tammuz (also known as Adonis), which may lie behind its use here, but this is not clear.

ἐπιδρασσόμενον: pres. part. causal, "because not *laying hold* of onions" i.e. to prevent his fall

ὅτι τῆς σελήνης φθινούσης μόνον εὐτροφεῖν τοῦτο καὶ τεθηλέναι πέφυκεν. ἔστι δὲ πρόσφορον οὔθ' ἁγνεύουσιν οὔθ' ἑορτάζουσι, τοῖς μὲν ὅτι διψῆν τοῖς δ' ὅτι δακρύειν ποιεῖ τοὺς προσφερομένους. ὁμοίως δὲ καὶ τὴν ὗν ἀνίερον ζῷον ἡγοῦνται· ὡς μάλιστα γὰρ ὀχεύεσθαι δοκεῖ τῆς σελήνης φθινούσης, καὶ τῶν τὸ γάλα πινόντων ἐξανθεῖ τὰ σώματα λέπραν καὶ ψωρικὰς τραχύτητας. [354] τὸν δὲ λόγον, ὃν θύοντες ἅπαξ τοῦ ἔτους ὗν ἐν πανσελήνῳ καὶ κατεσθίοντες ἐπιλέγουσιν, ὡς ὁ Τυφὼν ὗν διώκων πρὸς τὴν πανσέληνον εὗρε τὴν ξυλίνην

ἁγνεύω: to be pure, perform religious ceremonies
ἀνίερος, **-ον**: unholy
ἅπαξ: *(adv.)* once (a year)
γάλα, **-ατος**, **τό**: milk
δακρύω: to weep, shed tears
διψάω: to thirst
διώκω: to pursue, hunt
ἐξανθέω: to break out, blossom
ἑορτάζω: to keep festival or holiday
ἐπιλέγω: to narrate
εὑρίσκω: to find, come upon
εὐτροφέω: thrive, flourish
ζῷον, **τό**: a living being, animal
θάλλω: to bloom, abound
θύω: to sacrifice
κατεσθίω: to eat up, devour
λέπρα, **ἡ**: leprosy
ξύλινος, **-η**, **-ον**: of wood, wooden
ὁμοίως: *(adv.)* similarly
οὔτε ... **οὔτε**: neither ... nor
ὀχεύομαι: to copulate
πανσέληνος, **-ον**: at the full moon
πίνω: to drink
προσφέρω: to present
πρόσφορος, **-ον**: serviceable, useful to + *dat.*
σελήνη, **ἡ**: the moon
τραχύτης, **-ητος**, **ἡ**: roughness, a sore
Τυφών, **ὁ**: Typhon (=Seth)
ὗς, **ὑός**, **ἡ**: a pig
φθίνω: to decay, wane, dwindle
ψωρικός, **-ή**, **-όν**: scabrous

φθινούσης: pres. part. gen. abs., "*at the waning* of the moon"
τεθηλέναι: perf. inf. of **θάλλω** after **πέφυκεν**, "is disposed *to bloom*"
πέφυκεν: perf. of **φύω** with pres. sense, "*is disposed* to thrive" i.e. naturally thrives
ἁγνεύουσιν ... **ἑορτάζουσι**: pres. part. attrib. dat., "neither *to those performing ceremonies* nor *to those feasting*"
διψῆν ... **δακρύειν**: pres. inf. after **ποιεῖ**, "causes them *to be thirsty ... to weep*"
τοὺς προσφερομένους: pres. part. attrib. acc. subject of the infinitives, "causes *those presenting*"
ὡς μάλιστα: "as much as possible"
πινόντων: pres. part. attrib., "bodies *of those drinking*"
τὸν δὲ λόγον: acc. obj. of **ἀποδέχονται** below, "not all approve *the story*"
ἅπαξ τοῦ ἔτους: "once every year"
θύοντες ... **κατεσθίοντες**: pres. part. circum., "as they are sacrificing ... devouring"

σορόν, ἐν ᾗ τὸ σῶμα τοῦ Ὀσίριδος ἔκειτο, καὶ διέρριψεν, οὐ πάντες ἀποδέχονται, παρακουσμάτιον ὥσπερ ἄλλα πολλὰ νομίζοντες. ἀλλὰ τρυφήν γε καὶ πολυτέλειαν καὶ ἡδυπάθειαν οὕτω προβάλλεσθαι τοὺς παλαιοὺς λέγουσιν, ὥστε καὶ στήλην ἔφησαν ἐν Θήβαις ἐν τῷ ἱερῷ κεῖσθαι κατάρας ἐγγεγραμμένας ἔχουσαν κατὰ Μείνιος τοῦ βασιλέως, ὃς πρῶτος Αἰγυπτίους τῆς ἁπλούτου καὶ ἀχρημάτου καὶ λιτῆς ἀπήλλαξε διαίτης. λέγεται δὲ καὶ Τέχνακτις ὁ Βοκχόρεως πατὴρ στρατεύων ἐπ' Ἄραβας τῆς ἀποσκευῆς βραδυνούσης

ἄλλος, **-η**, **-ον**: other, another
ἀπαλλάττω: to set free, deliver from + *gen.*
ἄπλουτος, **-ον**: without riches, poor
ἀποδέχομαι: to accept, approve
ἀποσκευή, **ἡ**: equipment
Ἄραβες, **οἱ**: the Arabs
ἀχρήματος, **-ον**: without money, poor
βασιλεύς, **-έως**, **ὁ**: a king, pharaoh
Βοκχόρις, **-εως**, **ὁ**: the son of Tefnakt
βραδύνω: to make slow, delay
δίαιτα, **ἡ**: a way of living, mode of life
διαρρίπτω: to scatter
ἐγγράφω: to inscribe
ἡδυπάθεια, **ἡ**: luxury
Θῆβαι, **-ῶν**, **αἱ**: (Egyptian) Thebes
ἱερόν, **τό**: a temple
κατάρα, **ἡ**: a curse
κεῖμαι: to be laid
λιτός, **-ή**, **-όν**: smooth, simple
νομίζω: to consider
παλαιός, **-ά**, **-όν**: old, ancient
παρακουσμάτιον, **τό**: a misunderstanding
πολυτέλεια, **ἡ**: extravagance
προβάλλομαι: to censure
πρῶτος, **-η**, **-ον**: first
σορός, **ἡ**: a coffin
στήλη, **ἡ**: a block of stone, stele
στρατεύω: to lead a military campaign
Τέχνακτις, **ὁ**: the pharaoh Tefnakt of the 24th dynasty
τρυφή, **ἡ**: softness, delicacy
ὥσπερ: just like

διέρριψεν: aor. of **δια-ρίπτω**, "and *scattered* (the body)"

ὥστε ... ἔφησαν: aor. of actual result, "so much *that they claimed*

κεῖσθαι: pres. inf. in ind. stat. "claimed that a stele *lies*"

ἐγγεγραμμένας: perf. part. of **ἐγ-γράφω**, "curses *inscribed*"

κατὰ Μείνιος: "inscribed *against Menes*" the first king, who introduced some key practices and a sophisticated lifestyle

ἀπήλλαξε: aor. of **ἀπο-αλλάττω**, "who *released* them from"

λέγεται: This passive verb is often used by Plutarch to introduce some statement or report, usually unattributed. Although it can be used impersonally (it is said that X (*acc.*) + *inf.*), more often it is personal, as here: "The father *is said* to have welcomed"

βραδυνούσης: pres. part. gen. abs., "equipment *causing delay*" i.e. not arriving in a timely manner

ἡδέως τῷ προστυχόντι σιτίῳ χρησάμενος, εἶτα κοιμηθεὶς βαθὺν ὕπνον ἐπὶ στιβάδος ἀσπάσασθαι τὴν εὐτέλειαν, ἐκ δὲ τούτου καταράσασθαι τῷ Μείνι καὶ τῶν ἱερέων ἐπαινεσάντων στηλιτεῦσαι τὴν κατάραν.

ἀσπάζομαι: to welcome kindly
βαθύς, ***-εῖα***, ***-ύ***: deep
εἶτα: then, next
ἐπαινέω: to approve, applaud, commend
εὐτέλεια, ***ἡ***: frugality
ἡδέως: *(adv.)* sweetly, pleasantly
ἱερεύς, ***-εως***, ***ὁ***: a priest
κατάρα, ***ἡ***: a curse
καταράομαι: to call down curses upon + *dat.*
κομάομαι: to fall asleep
προστυγχάνω: to meet with, hit upon
σιτίον, ***τό***: grain, provisions
στηλιτεύω: inscribe on a block of stone
στιβάς, ***-άδος***, ***ἡ***: a bed of straw
ὕπνος, ***ὁ***: sleep, slumber
χράομαι: to use + *dat.*

τῷ προστυχόντι: aor. part. attrib., "the provisions *that he hit upon*" i.e. whatever was at hand
κοιμηθεὶς: aor. part. pass., "having fallen asleep"
ὕπνον: internal acc., "fallen into a deep *sleep*"
ἀσπάσασθαι: aor. inf. after ***λέγεται***, "is said *to have welcomed*"
ἐκ δὲ τούτου: "as a consequence of this"
καταράσασθαι ... στηλιτεῦσαι: aor. inf. also after ***λέγεται***, "is said *to have cursed ... to have inscribed*"
ἐπαινεσάντων: aor. part. gen. abs., "with the priests *praising*"

Result Clauses

ὥστε (sometimes ***ὡς***) introduces result clauses either with an infinitive or with a finite verb.

The infinitive expresses a possible or intended result, without emphasizing its actual occurrence. The infinitive does not express time, but only aspect.

> ***οἱ δ' ἱερεῖς οὕτω δυσχεραίνουσι, ὥστε παραιτεῖσθαι τῶν ὀσπρίων τὰ πολλά***: "The priests feel so much disgust, *that they reject* most kinds of pulse"

The indicative emphasizes the actual occurrence of the result, both in time and aspect. When other moods occur, they retain their usual force.

> ***ἡδυπάθειαν οὕτω προβάλλεσθαι τοὺς παλαιοὺς λέγουσιν, ὥστε καὶ στήλην ἔφησαν ἐν Θήβαις***: "They say that the ancients censured extravagance so much *that they claimed* there was a stele in Thebes"

Circumstantial Participles

These participles are added to a noun or a pronoun to set forth some circumstance under which an action takes place. The circumstances can be of the following types: time, manner, instrument, cause, purpose, concession, condition or attendant circumstance. Although sometimes particles can specify the type of circumstance, often only the context can clarify its force. Here are some examples:

Time: **διδάσκειν ὅτι δεῖ καθαροὺς τῶν τοιούτων γενομένους ἑορτάζειν**: "(they suppose) they teach that it is necessary to celebrate a festival *once they have become* pure of such things."

Instrument: **παραδηλοῦσιν αὐτοὶ πρὸ τῶν ἱερῶν τὰς σφίγγας ἐπιεικῶς ἱστάντες**: "They themselves intimate *by setting up* sphinxes before their temples"

ἀπεμιμήσατο τὸ συμβολικὸν αὐτῶν καὶ μυστηριῶδες ἀναμίξας αἰνίγμασι τὰ δόγματα: "they imitated their symbolic and mystical wrting *by mixing* their opinions with riddles""

Purpose: **ὅταν δὲ πιόμενος ἐπὶ τὸν ποταμὸν καταίρῃ**: "whenever he comes down *in order to drink*" (often as here with the future tense of the participle)

ὕστερον δὲ γῆν πᾶσαν ἡμερούμενον ἐπελθεῖν: "and that later he traversed the earth *in order to civilize* it"

Concession: **καὶ γὰρ ἔλαιον ὕλην μύρου καλοῦμεν καὶ χρυσὸν ἀγάλματος, οὐκ ὄντα πάσης ἔρημα ποιότητος**; "and indeed they call oil the matter of unguent and gold the matter of a statue, *although these are* not devoid of quality"

Cause: **οἱ δὲ τῶν μὲν ἐρίων ὥσπερ τῶν κρεῶν σεβομένους τὸ πρόβατον ἀπέχεσθαι λέγουσι**: "but others claim that they refrain from wool just like mutton *because they revere* sheep"

οἱ δὲ βασιλεῖς καὶ μετρητὸν ἔπινον ἱερεῖς ὄντες: "The kings customarily drink moderately, *since they are* priests."

αἰσθομένην ... **ἰδοῦσαν**: aor. part. agreeing with Isis understood, the subject of **ζητεῖν** below, "(they say that Isis) *having perceived ... seeing*"

συγγεγονέναι: perf. inf. ind stat. after **αἰσθομένην**, "(Isis) having perceived that Osiris *had consorted with*"

ὡς ἑαυτῇ: "as though with herself (Isis)" or so Osiris thought

τεκμήριον: acc. pred., "and her seeing the garland *as a sign*" this garland "left behind" is mentioned again below in section 38, but the episode does not seem to have an Egyptian source

ἐκθεῖναι ... **τεκοῦσαν**: note the change of subject, "(they say) that she (Nephthys), *upon giving birth, had exposed* it"

εὑρεθὲν: aor. part. pass. acc., "(the child) *having been found*"

ἐπαγόντων: gen. abs., "with dogs *leading* Isis"

ἐκτραφῆναι: aor. inf. pass., "that *it was reared*"

προσαγορευθέντα: aor. pass. part., "him *having been named*"

15. ἐκ δὲ τούτου πυθέσθαι περὶ τῆς λάρνακος, [357] ὡς πρὸς τὴν Βύβλου χώραν ὑπὸ τῆς θαλάσσης ἐκκυμανθεῖσαν

βύβλος, **-ου**, **ἡ**: Byblos, in the levant
ἐκκυμαίνομαι: to be cast up by waves
θάλασσα, **ἡ**: the sea
λάρναξ, **-ακος**, **ἡ**: a box, chest
πυνθάνομαι: to learn by hearsay about (**περὶ**)
χώρα, **ἡ**: a place, land

ἐκ δὲ τούτου: "as a result of this" although there is no such logical connection to the previous sentences. Nardelli suggests reading **μετὰ ταῦτα,** "after these things."

πυθέσθαι: aor. inf. whose subject must be Isis, "*that she learned* about the coffin"

πρὸς τὴν Βύβλου χώραν: this episode in Byblos, an ancient Phoenician city with early connections to Egypt, seems to be a late addition to the story of Isis and Osiris, which combines Greek and Phoenician elements.

ὑπὸ τῆς θαλάσσης: "near the sea"

ἐκκυμανθεῖσαν: aor. part. pass. agreeing with **αὐτὴν**, "it (the chest) *having been cast up*"

Indirect Statement

The term indirect statement is used in the commentary not only for reported speech, but other complements of verbs of perception, belief, etc. There are three main types:

1. Verbs of saying can take **ὅτι** or **ὡς** + the indicative to express indirect statement:
   πυθέσθαι περὶ τῆς λάρνακος, ὡς ὁ κλύδων προσέμιξεν: "that she learned about the box that a wave *had put it to shore.*"
2. But more common in *On Isis and Osiris* is the accusative + infinitive construction, which is also used for verbs of thinking and believing:
   ἡδυπάθειαν οὕτω προβάλλεσθαι τοὺς παλαιοὺς λέγουσιν, ὥστε καὶ στήλην ἔφησαν ἐν Θήβαις ἐν τῷ ἱερῷ κεῖσθαι: "they say that the ancients *censure* luxury so much that they claim that a stele *lies* in the temple in Thebes"
   οἴεται καὶ τὴν κρύψιν ὑπὸ ταύτης δηλοῦσθαι τῆς φωνῆς: "he supposes the concealment *to be indicated* by this word"
3. Verbs of knowing, perceiving, hearing or showing take the accusative + participle construction.
   τὴν ἐξ ὑγρῶν ἡλίου γινομένην ἄναψιν αἰνιττόμενοι: "hinting that this rekindling of the sun *happens* from water"
   ὅλως δὲ καὶ τὴν θάλατταν ἐκ πυρός ἡγοῦνται καὶ παρωρισμένην: "generally they consider the sea to be from fire and *that it was cut off*"

This can also occur in the genitive absolute construction:

παραδηλοῦσιν αὐτοὶ ... ὡς αἰνιγματώδη σοφίαν τῆς θεολογίας αὐτῶν ἐχούσης: "they themselves intimate that their theology *has* a certain enigmatic wisdom"

αὐτὴν ἐρείκῃ τινὶ μαλθακῶς ὁ κλύδων προσέμιξεν· ἡ δ' ἐρείκη κάλλιστον εἰς ἔρνος ὀλίγῳ χρόνῳ καὶ μέγιστον ἀναδραμοῦσα περιέπτυξε καὶ περιέφυ καὶ ἀπέκρυψεν ἐντὸς ἑαυτῆς. θαυμάσας δ' ὁ βασιλεὺς τοῦ φυτοῦ τὸ μέγεθος καὶ περιτεμὼν τὸν περιέχοντα τὴν σορὸν οὐχ ὁρωμένην κορμὸν ἔρεισμα τῇ στέγῃ ὑπέστησε. ταῦτά τε πνεύματί φασι δαιμονίῳ φήμης πυθομένην τὴν Ἶσιν εἰς Βύβλον ἀφικέσθαι καὶ καθίσασαν ἐπὶ κρήνης ταπεινὴν καὶ δεδακρυμένην ἄλλῳ μὲν μηδενὶ προσδιαλέγεσθαι, τῆς δὲ βασιλίδος τὰς

ἀνέδραμον: to shoot up *(aor.)*
ἀποκρύπτω: to hide away
ἀφικνέομαι: to come to, arrive at
βασιλίς, ***-ίδος***, ***ἡ***: a queen, princess
δαιμόνιος, ***-α***, ***-ον***: divine
δακρύω: to weep, shed tears
ἐντός: within, inside + *gen.*
ἐρείκη, ***ἡ***: a heath-tree
ἔρεισμα, ***-ατος***, ***τό***: a prop, support
ἔρνος, ***-εος***, ***τό***: a young sprout, shoot
θαυμάζω: to wonder, marvel
καθίζω: to make to sit down, seat
κάλλιστος, ***-η***, ***-ον***: very beautiful
κλύδων, ***ὁ***: a wave, billow
κορμός, ***ὁ***: the trunk of a tree
κρήνη, ***ἡ***: a well, spring, fountain
μαλθακῶς: *(adv.)* softly
μέγεθος, ***-εος***, ***τό***: size, stature
μέγιστος, ***-η***, ***-ον***: very large
περιέχω: to encompass, surround
περιπτύττω: to enfold, enwrap
περιτέμνω: to cut around
περιφύω: to grow around
πνεῦμα, ***-ατος***, ***τό***: a blowing, breath
προσδιαλέγομαι: to converse with + *dat.*
προσμίγνυμι: to put X *(acc.)* to shore in *(dat.)*
σορός, ***ἡ***: a coffin
στέγη, ***ἡ***: a roof
ταπεινός, ***-ή***, ***-όν***: low, downcast
ὑφίστημι: to place X *(acc.)* under Y *(dat.)*
φήμη, ***ἡ***: a voice from heaven, report
φυτόν, ***τό***: a plant, tree

προσέμιξεν: aor. in ind. stat. with ***ὡς*** after ***πυθέσθαι***, "learned that a wave *put* it (the chest) *to shore in* a heath-tree"
ἡ δ' ἐρείκη: note the switch to direct discourse
ὀλίγῳ χρόνῳ: dat of time comitative (Smyth 1528), "with a little time"
περιτεμὼν: aor. part., "*having cut around* the trunk"
τὸν περιέχοντα: pres. part., "the trunk *surrounding* the chest"
οὐχ ὁρωμένην: pres. part. pass., "the chest *not being seen*" i.e. not visible
ἔρεισμα: acc. pred., "he placed it *as a support*"
φασι: Plutarch now returns to indirect statement
ἀφικέσθαι: aor. inf., "they say that Isis having learned *arrived*"
ἄλλῳ μὲν ... τῆς δὲ: "with no one *else* ... *but* the servants *of the* queen"
προσδιαλέγεσθαι: pres. inf., "that having seated herself *she was conversing with* no one else"

θεραπαινίδας ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι τήν τε κόμην παραπλέκουσαν αὐτῶν καὶ τῷ χρωτὶ θαυμαστὴν εὐωδίαν ἐπιπνέουσαν ἀφ' ἑαυτῆς. ἰδούσης δὲ τῆς βασιλίδος τὰς θεραπαινίδας, ἵμερον ἐμπεσεῖν τῆς ξένης τῶν τε τριχῶν τοῦ τε χρωτὸς ἀμβροσίαν πνέοντος· οὕτω δὲ μεταπεμφθεῖσαν καὶ γενομένην συνήθη ποιήσασθαι τοῦ παιδίου τίτθην. ὄνομα δὲ τῷ μὲν βασιλεῖ Μέλκαθρον εἶναί φασιν· αὐτῇ δ' οἱ μὲν Ἀστάρτην οἱ δὲ Σάωσιν οἱ δὲ Νεμανοῦν, ἥνπερ ἂν Ἕλληνες τίνες Ἀθηναΐδα προσείποιεν.

ἀμβροσία, **ἡ**: immortality, ambrosia
ἀσπάζομαι: to bid welcome, greet
ἐμπίπτω: to fall upon
ἐπιπνέω: to breathe X *(acc.)* upon Y *(dat.)*
εὐωδία, **ἡ**: a sweet smell
θαυμαστός, **-ή**, **-όν**: wondrous
θεραπαινίς, **-ίδος**, **ἡ**: a servant
θρίξ, **τριχός**, **ἡ**: the hair of the head
ἵμερος, **ὁ**: a desire for + *gen.*
κόμη, **ἡ**: the hair, hair of the head
μεταπέμπω: to send after
ξένη, **ἡ**: a foreign woman
ὅσπερ, **ἥπερ**, **ὅπερ**: the very one who
παίδιον, **τό**: little or young child
παραπλέκω: to braid
πνέω: to blow, breathe
ποιέω: to make
προσεῖπον: to speak to, address *(aor.)*
συνήθης, **-ες**: accustomed to each other
τίτθη, **ἡ**: a nurse
φιλοφρονέομαι: to treat affectionately
χρώς, **χρωτός**, **ὁ**: the skin

παραπλέκουσαν ... **ἐπιπνέουσαν**: pres. part. agreeing with **τὴν Ἶσιν**, "she *weaving* ... *breathing upon*"

ἰδούσης: gen. abs., "the queen *upon seeing*"

ἐμπεσεῖν: aor. inf., "that a desire *fell upon* (her)"

τῶν τε ... **τοῦ τε**: "a desire *for both* ... *and*"

μεταπεμφθεῖσαν: aor. part. pass., "(Isis) having been sent for"

ποιήσασθαι: aor. inf. mid., "that Isis *made herself* the nurse" the account of Isis nursing the queen's child recalls the story of Demeter and Demophon in the *Homeric Hymn to Demeter*

τῷ μὲν ... **αὐτῇ δ**': "*while to the* king the name ... *to her* (the queen)"

Μέλκαθρον: the name of the king (corrected from **Μάλκανδρον**) perhaps derives from the Phoenician god Melqart, patron deity of Tyre

Ἀστάρτην: a Phoenician goddess of love and fecundity, like the Assyrian Ishtar. However, the story recounted by Plutarch here demands that the king and queen are mortals.

Σάωσιν ... **Νεμανοῦν**: these names are of uncertain reference, but may be versions of the names of the two sisters of Astarte

Ἀθηναΐδα: not the usual form for Athena's name

προσείποιεν: aor. opt. pot., "the Greeks *would call* her Athenais"

16. ***τρέφειν δὲ τὴν Ἶσιν ἀντὶ μαστοῦ τὸν δάκτυλον εἰς τὸ στόμα τοῦ παιδίου διδοῦσαν, νύκτωρ δὲ περικαίειν τὰ θνητὰ τοῦ σώματος· αὐτὴν δὲ γενομένην χελιδόνα τῇ κίονι περιπέτεσθαι καὶ θρηνεῖν, ἄχρι οὗ τὴν βασίλισσαν παραφυλάξασαν καὶ ἐγκραγοῦσαν, ὡς εἶδε περικαιόμενον τὸ βρέφος, ἀφελέσθαι τὴν ἀθανασίαν αὐτοῦ. τὴν δὲ θεὰν φανερὰν γενομένην αἰτήσασθαι τὴν κίονα τῆς στέγης· ὑφελοῦσαν δὲ ῥᾷστα περικόψαι τὴν ἐρείκην, εἶτα ταύτην μὲν***

ἀθανασία, ***ἡ***: immortality
αἰτέω: to ask for, seek
ἀντί: instead of + *gen.*
ἀφαιρέω: to take from, take away from
ἄχρι: up to + *gen.*
βασίλισσα, ***ἡ***: the queen
βρέφος, ***-εος***, ***τό***: a baby
δάκτυλος, ***ὁ***: a finger
δίδωμι: to give
ἐγκράζω: to cry aloud at
ἐρείκη, ***ἡ***: the heath-tree
θνητός, ***-ή***, ***-όν***: liable to death, mortal
θρηνέω: to sing a dirge, to wail
κίων, ***κίονος***, ***ἡ***: a pillar
μαστός, ***ὁ***: a breast
νύκτωρ: *(adv.)* by night
παίδιον, ***τό***: little or young child
παραφυλάσσω: to watch closely
περικαίω: to burn round about
περικόπτω: to cut all round
περιπέτομαι: to fly around + *dat.*
ῥᾷστα: *(adv.)* very easily
στέγη, ***ἡ***: a roof
στόμα, ***τό***: the mouth
τρέφω: to nurse
ὑφείλον: to seize from beneath *(aor.)*
φανερός, ***-ά***, ***-όν***: visible, manifest, evident
χελιδών, ***-όνος***, ***ἡ***: the swallow

διδοῦσαν: pres. part. instrumental, "nurse *by giving* a finger"

τὰ θνητὰ: "the mortal parts" i.e. in order to render him immortal

αὐτὴν δὲ: continuing indirect statement, "*and that she* (Isis), having become"

χελιδόνα: Isis and Nephthys are sometimes represented as two lamenting birds stationed over the coffin of Osiris

ἄχρι οὗ: "up to the time when" i.e. until + *inf.*

ὡς εἶδε: causal indicating the viewpoint of the subject, "because she saw" or she thought she did

περικαιόμενον: pres. part. circum., "saw the child *burning*"

ἀφελέσθαι: aor. inf. of ***ἀπο-εἶλον*** after ***ἄχρι οὗ***, "until ... she (the queen) *deprived* the child of immortality" in the *Homeric Hymn to Demeter*, the goddess tries to make Demophon immortal in a similar way, and is also interrupted by the boy's mother.

αἰτήσασθαι: aor. inf. mid., "that the goddess *sought for herself*"

ὑφελοῦσαν: aor. part., "(Isis) *having seized from beneath* the pillar"

εἶτα ταύτην μὲν: "next while that thing" i.e. the pillar

ὀθόνῃ περικαλύψασαν καὶ μύρον καταχεαμένην ἐγχειρίσαι τοῖς βασιλεῦσι καὶ νῦν ἔτι σέβεσθαι Βυβλίους τὸ ξύλον ἐν ἱερῷ κείμενον Ἴσιδος. τῇ δὲ σορῷ περιπεσεῖν καὶ κωκῦσαι τηλικοῦτον, ὥστε τῶν παίδων τοῦ βασιλέως τὸν νεώτερον ἐκθανεῖν· τὸν δὲ πρεσβύτερον μεθ' ἑαυτῆς ἔχουσαν καὶ τὴν σορὸν εἰς πλοῖον ἐνθεμένην ἀναχθῆναι. τοῦ δὲ Ἀδώνιδος ποταμοῦ πνεῦμα τραχύτερον ἐκπέψαντος θυμωθεῖσαν ἀναξηρᾶναι τὸ ῥεῖθρον.

ἀνάγω: to lead up, to set sail (pass.)
ἀναξηραίνω: to dry up
ἐγχειρίζω: to entrust X *(acc.)* to *(dat.)*
ἐκθνήσκω: to swoon, die
ἐκπέμπω: to send out
ἐντίθημι: to put in or into
θυμόω: to make angry
ἱερόν, τό: a sanctuary
καταχέω: to pour upon, pour over
κεῖμαι: to be laid
κωκύω: to shriek, cry, wail
μύρον, τό: unguent, balsam
νεώτερος, -α, -ον: younger
ξύλον, τό: wood
ὀθόνη, ἡ: fine linen
παῖς, παιδός, ὁ: a child
περικαλύπτω: to cover X *(acc.)* all round with Y *(dat.)*
περιπίπτω: to fall around X *(dat.)* in an embrace
πλοῖον, τό: a floating vessel, a ship
πνεῦμα, -ατος, τό: a blowing, a blast
ποταμός, ὁ: a river
πρεσβύτερος, -η, -ον: older
ῥεῖθρον, τό: that which flows, a river
σέβομαι: to feel awe, revere
σορός, ἡ: a coffin
τηλικοῦτον: *(adv.)* so much
τραχύτερος, -α, -ον: more rugged, rougher

τοῖς βασιλεῦσι: dat. "that thing she entrusted *to the royals*" i.e. to the king and queen
καὶ νῦν ἔτι: "even now" the phrase indicates an aetiology of a contemporary practice
σέβεσθαι: pres. inf., "and that even now they *revere*"
ὥστε ... ἐκθανεῖν: aor. inf. result, "so that he swooned" (or perhaps "he died") where the infinitive is used for an actual result instead of the indicative because the main clause is in indirect statement (Smyth 2269).
τὸν δὲ πρεσβύτερον: "but with *the older* (child)" i.e. the one she had nursed
ἐνθεμένην: aor. part. mid. trans. of ***ἐν-τίθημι***, "(that she) *having placed into* a boat"
ἀναχθῆναι: aor. inf. pass. of ***ἀνα-άγω***, "(that Isis) set sail"
Ἀδώνιδος: a river south of Byblos, this is Nardelli's suggestion for the mss. **Φαίδρου** (otherwise unattested)
ἐκπέψαντος: aor. part. gen. abs., "when the river *sent out* a wind"
ἀναξηρᾶναι: aor. inf. in ind. stat., "that she *dried up* the river"

17. ὅπου δ' ὀλιγον προελθουσᾶν ἐρημίας ἔτυχεν, αὐτὴν καθ' ἑαυτὴν γενομένην ἀνοῖξαι τὴν λάρνακα, καὶ τῷ προσώπῳ τὸ πρόσωπον ἐπιθεῖσαν ἀσπάσασθαι καὶ δακρύειν. τοῦ δὲ παιδίου σιωπῇ προσελθόντος ἐκ τῶν ὄπισθεν καὶ καταμανθάνοντος, αἰσθομένην μεταστραφῆναι καὶ δεινὸν ὑπ' ὀργῆς ἐμβλέψαι· τὸ δὲ παιδίον οὐκ ἀνασχέσθαι τὸ τάρβος, ἀλλ' ἀποθανεῖν. οἱ δέ φασιν οὐχ οὕτως, ἀλλ' ὡς εἴρηται πρώτερον ἐκπεσεῖν εἰς τὴν θάλασσαν, ἔχειν δὲ τιμὰς

αἰσθάνομαι: to perceive + *gen.*
ἀνέχομαι: to endure
ἀνοίγω: to open
ἀποθνήσκω: to die off, die
ἀσπάζομαι: to welcome kindly, bid welcome, greet
δακρύω: to weep, shed tears
δεινὸν: *(adv.)* fearfully, dreadfully
ἐκπίπτω: to fall off
ἐμβλέπω: to look in the face
ἐπιτίθημι: to lay X *(acc.)* upon Y *(dat.)*
ἐρέω: to say or speak *(fut.)*
ἐρημία: a solitude, desert
θάλασσα, ***ἡ***: the sea
καταμανθάνω: to observe well
λάρναξ, ***-ακος***, ***ἡ***: a box, chest
μεταστρέφω: to turn about, turn round
ὀλίγος, ***-η***, ***-ον***: little, small
ὄπισθεν: *(adv.)* from behind
ὅπου: where, in that place
ὀργή, ***ἡ***: natural impulse, anger
παίδιον, ***τό***: a little child
προσῆλθον: to approach *(aor.)*
πρόσωπον, ***τό***: the face
σιωπή, ***ἡ***: silence
τάρβος, ***-εος***, ***τό***: fright, terror
τιμή, ***ἡ***: honor
τυγχάνω: to hit upon + *gen.*

ὀλίγον προελθουσᾶν: "having progressed a short (distance)" Nardelli's alternative to the mss. ***πρῶτον***

καθ' ἑαυτὴν: "by herself" i.e. alone

ἀνοῖξαι: aor. inf., "that she opened"

ἀσπάσασθαι καὶ δακρύειν: note the combination of aorist and present infinitives, which is not uncommon in Plutarch. In this case the present may represent an imperfect, "that she greeted him and began weeping"

σιωπῇ: dat. of manner, "in silence"

προσελθόντος ... καταμανθάνοντος: aor. part. in ind. stat. after ***αἰσθομένην***, "having perceived that the child *had approached and observed*"

μεταστραφῆναι: aor. inf. pass., "that she *turned around*"

ὑπ' ὀργῆς: causal, "because of anger" suggesting that the boy had witnessed something forbidden, either Isis performing magical rites or the sexual act leading to the conception of Horus.

ὡς εἴρηται πρώτερον: i.e. in chapter 8, the story about the onion

διὰ τὴν θεόν· ὃν γὰρ ᾄδουσιν Αἰγύπτιοι παρὰ τὰ συμπόσια Μανερῶτα, τοῦτον εἶναι. τινὲς δὲ τὸν μὲν παῖδα καλεῖσθαι «Πηλούσιον» καὶ τὴν πόλιν ἐπώνυμον ἀπ' αὐτοῦ γενέσθαι κτισθεῖσαν ὑπὸ τῆς θεοῦ· τὸν δ' ᾀδόμενον Μανερῶτα πρῶτον εὑρεῖν μουσικὴν ἱστοροῦσιν. ἔνιοι δέ φασιν ὄνομα μὲν οὐδενὸς εἶναι, διάλεκτον δὲ πίνουσιν ἀνθρώποις καὶ θαλειάζουσι πρέπουσαν «αἴσιμα τὰ τοιαῦτα παρείη,» τοῦτο γὰρ, τῷ Μανερῶτι φραζόμενον, ἀναφωνεῖν ἑκάστοτε τοὺς Αἰγυπτίους. ὥσπερ ἀμέλει καὶ τὸ δεικνύμενον αὐτοῖς εἴδωλον τοῦ τεθνηκότος ἐν κιβωτίῳ περιφερόμενον οὐκ ἔστιν ὑπόμνημα

ᾄδω: to sing, celebrate in song
αἴσιμος, **-ον**: lucky
ἀμέλει: *(adv.)* doubtless
ἀναφωνέω: to call aloud, declaim
ἄνθρωπος, **ὁ**: a person
δεικνύω: to exhibit
διάλεκτος, **ἡ**: an expression
εἴδωλον, **τό**: an image
ἑκάστοτε: each time, on each occasion
ἐπώνυμος, **-ον**: given as a name, eponymous
εὑρίσκω: to find, invent
θαλειάζω: to make merry
θεός, **ἡ**: a goddess
θνήσκω: to die
ἱστορέω: to record
καλέω: to call, name
κιβώτιον, **τό**: a box
κτίζω: to found (a city)
μουσική, **ἡ**: music
πάρειμι: to be present
περιφέρω: to carry round
πίνω: to drink
πρέπω: to be appropriate to + *dat.*
συμπόσιον, **τό**: a banquet, symposium
τοιοῦτος, **-αύτη**, **-οῦτο**: such as this
ὑπόμνημα, **-ατος**, **τό**: a remembrance, memorial
φράζω: to signify

Μανερῶτα: This "Maneres," who lamented in song, is variously identified. Herodotus (*Histories* 3. 79) says he is the first king of Egypt
τοῦτον εἶναι: "*that he is this one* whom"
Πηλούσιον: Pelusium is in the eastern delta
κτισθεῖσαν: aor. part. pass., "*having been founded* by the goddess"
ᾀδόμενον: pres. part. pass. attrib., "the Maneros *who is celebrated in song*"
οὐδενὸς: gen., "the name *of no one*"
παρείη: pres. opt. pot. in a wish for the future, "may such things be lucky!"
τοῦτο γὰρ: "for this (sentiment)" acc. obj. of **ἀναφωνεῖν**
τῷ Μανερῶτι: dat. instrumental, "signified *by the word 'Maneros'*"
τοῦ τεθνηκότος: perf. part. gen., "image *of a dead man*" Herodotus (*Histories* 2. 78) also reports this custom
οὐκ ἔστιν: note the return to direct discourse for just this sentence

τοῦ περὶ Ὀσίριδος πάθους, ᾗ τινες ὑπολαμβάνουσιν, ἀλλ' οἰνωμένους παρακαλοῦντες αὐτοὺς χρῆσθαι τοῖς παροῦσι καὶ ἀπολαύειν, ὡς πάντας αὐτίκα μάλα τοιούτους ἐσομένους, ἄχαριν ἐπίκωμον ἐπεισάγουσι.

18. τῆς δ' Ἴσιδος πρὸς τὸν υἱὸν Ὧρον ἐν Βούτῳ τρεφόμενον πορευθείσης, τὸ δ' ἀγγεῖον ἐκποδὼν ἀποθεμένης Τυφῶνα κυνηγετοῦντα νύκτωρ πρὸς τὴν σελήνην ἐντυχεῖν αὐτῷ [358] καὶ τὸ σῶμα γνωρίσαντα διελεῖν εἰς

ἀγγεῖον, **τό**: a vessel, chest
ἀπολαύω: to have enjoyment of
ἀποτίθημι: to put away, stow away
αὐτίκα: *(adv.)* forthwith, straightway, at once
ἄχαρις, **-ιτος**, **ὁ**: unpleasantness
γνωρίζω: to make known, point out, explain
διεῖλον: to tear into parts *(aor.)*
ἐκποδών: *(adv.)* out of the way
ἐντυγχάνω: to light upon, fall in with + *dat.*
ἐπεισάγω: to introduce besides
ἐπίκωμος, **ὁ**: revelling
ᾗ: *(adv.)* as, in which manner
κυνηγετέω: to hunt
μάλα: *(adv.)* very, exceedingly
νύκτωρ: *(adv.)* by night
οἰνόω: to intoxicate
πάθος, **πάθους**, **τό**: a suffering, passion
παρακαλέω: to summon
πορεύομαι: to make one's way
σελήνη, **ἡ**: the moon
τρέφω: to nourish, raise (a child)
υἱός, **ὁ**: a son
ὑπολαμβάνω: to assume, understand

οἰνωμένους: perf. part. pass., "those having become drink"

αὐτοὺς (=**ἑ-αὐτοὺς**) **χρῆσθαι**: "summoning those being drunk *that they use*" + *dat.*

τοῖς παροῦσι: pres. part. dat., "use *the present things* "

ὡς πάντας... ἐσομένους: fut. part. causal, "*in the belief that all will be* such"

τὸν υἱὸν Ὧρον ἐν Βούτῳ τρεφόμενον: "the son Horus being raised in Buto." The Horus "being raised in Buto" is the son of Isis and Osiris, whose conception and birth has not yet been mentioned, except obliquely in the alternate version of the *in utero* conception of Haroueris, the elder Horus, at the end of chapter 12. Egyptian accounts generally make Horus' conception occur after the dismemberment of Osiris, after which he is nurtured in Buto by the goddess Wadjet. In chapter 38 below, Leto (the mother of Apollo) is said to nurture Horus "among the marshes of Buto." Leto is associated with both the protective goddess Wadjet and with Isis herself.

πορευθείσης ... ἀποθεμένης: aor. part. in gen. abs., while the main clause returns to ind. stat. with **Τυφῶνα ... ἐντυχεῖν**, "Isis *having made her way to ... having put away* the chest"

κυνηγετοῦντα ... γνωρίσαντα: aor. and pres. part. circumstantial, "that Typhon *while hunting ... upon recognizing* the body"

πρὸς τὴν σελήνην: "by moonlight"

διελεῖν ... διαρρῖψαι: aor. inf., "that Typhon *tore apart* the body ... *distributed*"

τεσσαρεσκαίδεκα μέρη καὶ διαρρῖψαι, τὴν δ' Ἶσιν πυθομένην ἀναζητεῖν ἐν βάριδι παπυρίνῃ τὰ ἕλη διεκπλέουσαν· ὅθεν οὐκ ἀδικεῖσθαι τοὺς ἐν παπυρίνοις σκάφεσι πλέοντας ὑπὸ τῶν κροκοδείλων, ἢ φοβουμένων ἢ σεβομένων διὰ τὴν θεόν. ἐκ τούτου δὲ καὶ πολλοὺς τάφους Ὀσίριδος ἐν Αἰγύπτῳ λέγεσθαι διὰ τὸ προστυγχάνουσαν ἑκάστῳ μέρει ταφὰς ποιεῖν. οἱ δ' οὔ φασιν, ἀλλ' εἴδωλα ποιουμένην διδόναι καθ' ἑκάστην πόλιν ὡς τὸ σῶμα διδοῦσαν ὅπως παρὰ πλείοσιν ἔχῃ τιμὰς, κἂν ὁ Τυφὼν ἐπικρατήσῃ τοῦ Ὥρου,

---

ἀδικέω: to do wrong
Αἴγυπτος, **ὁ**: the river Nile
ἀναζητέω: to examine into, investigate
βᾶρις, **-ιδος**, **ἡ**: a flat-bottomed boat
διαρρίπτω: to cast about, distribute
δίδωμι: to give
διεκπλέω: to sail out through
εἴδωλον, **τό**: an image, a phantom
ἕκαστος, **-η**, **-ον**: each, every
ἕλος, **-εος**, **τό**: low ground by rivers
ἐπικρατέω: to overcome + *gen.*
κροκόδειλος, **ὁ**: a crocodile
μέρος, **-εος**, **τό**: a share, part (of the body)
ὅθεν: whence
παπύρινος, **-η**, **-ον**: made of papyrus
πλείων, **-ον**: more
πλέω: to sail
πόλις, **ἡ**: a city
πολύς, **πολλά**, **πολύ**: many
προστυγχάνω: to come upon + *dat.*
πυνθάνομαι: to learn by hearsay
σέβομαι: to revere
σκάφος, **-εος**, **τό**: the hull of a ship
ταφαί, **αἱ**: funeral rites
τάφος, **ὁ**: a tomb, grave
τεσσαρεσκαίδεκα (*indecl.*): fourteen
τιμή, **ἡ**: honor
φοβέομαι: to fear

εἰς τεσσαρεσκαίδεκα μέρη: "into fourteen parts" the number being connected to the waning of the moon by Plutarch in section 42

ὑπὸ τῶν κροκοδείλων: expressing agency, "wronged *by crocodiles*"

διὰ τὴν θεόν: expressing cause, "revered *because of the goddess*"

λέγεσθαι: pres. inf. pass., "that many tombs *are said*"

διὰ τὸ ... ποιεῖν: articular inf., "because of (Isis) making"

προστυγχάνουσαν: pres. part. agreeing with the accusative subject (Isis) of **ποιεῖν**, "*coming upon* each part"

οἱ δ' οὔ φασιν, ἀλλ': "*others deny* this, but" i.e. but claim instead that, introducing ind. stat.

ὡς ... διδοῦσαν: expressing presumed motive of the action (Smyth 2086), "as if she were giving"

ὅπως ... ἔχῃ: pres. subj. in purpose clause, "*so that he (Osiris) would have* honors"

παρὰ πλείοσιν: "among more (people)"

κἂν (=**καὶ ἐὰν**) **... ἐπικρατήσῃ**: aor. subj. in less vivid protasis where the optative would be expected, "if he were to overcome" + *gen.*

τὸν ἀληθινὸν τάφον ζητῶν, πολλῶν λεγομένων καὶ δεικνυμένων ἀπαγορεύσῃ. μόνον δὲ τῶν μερῶν τοῦ Ὀσίριδος τὴν Ἶσιν οὐχ εὑρεῖν τὸ αἰδοῖον· εὐθὺς γὰρ εἰς τὸν ποταμὸν ῥιφῆναι καὶ γεύσασθαι τόν τε λεπιδωτὸν αὐτοῦ καὶ τὸν φάγρον καὶ τὸν ὀξύρυγχον, οὓς μάλιστα τῶν ἰχθύων ἀφοσιοῦσθαι· τὴν δ' Ἶσιν ἀντ' ἐκείνου μίμημα ποιησαμένην καθιερῶσαι τὸν φαλλόν, ᾧ καὶ νῦν ἑορτάζειν τοὺς Αἰγυπτίους.

αἰδοῖον, **τό**: the genitals
ἀληθινός, **-ή**, **-όν**: true
ἀπαγορεύω: to fail at + *part.*
ἀφοσιόω: to eschew on religious grounds
γεύομαι: to taste of
ἑορτάζω: to celebrate X *(dat.)* with a festival
εὐθὺς: *(adv.)* immediately
εὑρίσκω: to find
ζητέω: to seek, seek for
ἰχθῦς, **-υός**, **ὁ**: a fish
καθιερόω: to dedicate
λεπιδωτός, **-ὁ**: the lepitidos fish
μάλιστα: *(adv.)* especially, most of all
μίμημα, **-ατος**, **τό**: a copy, effigy
μόνος, **-η**, **-ον**: alone
ὀξύρυγχος, **ὁ**: the sharp-nosed fish
ποταμός, **ὁ**: a river
ῥίπτω: to throw, cast, hurl
φάγρος, **ὁ**: sea-bream fish
φαλλός, **ὁ**: membrum virile, phallus, a figure

ζητῶν: pres. part. supplementing **ἀπαγορεύσῃ**, "fail *in seeking*" i.e. fail to find
λεγομένων καὶ δεικνυμένων: pres. part. pass. gen. abs., "many *being claimed and shown*"
ἀπαγορεύσῃ: aor. subj. in less vivid apodosis where the optative would be expected, "*he would fail in* seeking" i.e. fail to find
ῥιφῆναι: aor. inf. pass. of **ῥίπτω**, "that the genitals *had been thrown*"
γεύσασθαι: aor. inf., "that the fish *tasted* them" i.e. nibbled them
τῶν ἰχθύων: gen. partitive, "especially *of all fish*"
ἀντ' ἐκείνου: "in place of that" i.e. the missing genitals

Purpose

Purpose can be expressed with the subjunctive following **ὅπως** (less commonly **ἵνα**)

ὡς τὸ σῶμα διδοῦσαν ὅπως παρὰ πλείοσιν ἔχῃ τιμὰς, "as if she were giving the body *so that he would have* honor from more"

Purpose can also be expressed with the future participle:

ὀνομάζεται γὰρ Ἰσεῖον ὡς εἰσομένων τὸ ὄν, "for it is called "Iseion" *so that we know* the reality"

Purpose can be expressed by various prepositions:

διαπονεῖν ἐπὶ τὴν μάχην καὶ ἀσκεῖν: "to practice and train *for battle*"

Purpose can be expressed with the infinitive, especially after verbs of motion:

παρέχουσα γεννᾶν ἐκείνῳ καὶ κατασπείρειν: "offering herself to him *for reproducing and sowing*"

19. *ἔπειτα τῷ Ὥρῳ τὸν Ὄσιριν ἐξ Ἅιδου παραγενόμενον διαπονεῖν ἐπὶ τὴν μάχην καὶ ἀσκεῖν, εἶτα διερωτῆσαι τί κάλλιστον ἡγεῖται· τοῦ δὲ φήσαντος «τῷ πατρὶ καὶ τῇ μητρὶ τιμωρεῖν κακῶς παθοῦσι,» δεύτερον ἐρέσθαι τί χρησιμώτατον οἴεται ζῷον εἰς μάχην ἐξιοῦσι· τοῦ δ' Ὥρου «ἵππον» εἰπόντος ἐπιθαυμάσαι καὶ διαπορῆσαι, πῶς οὐ λέοντα μᾶλλον ἀλλ' ἵππον· εἰπεῖν οὖν τὸν Ὧρον, ὡς λέων μὲν ὠφέλιμον ἐπιδεομένῳ βοηθείας, ἵππος δὲ φεύγοντα διασπάσαι καὶ καταναλῶσαι τὸν πολέμιον. ἀκούσαντ' οὖν*

ἀκούω: to hear
ἀσκέω: to train
βοηθεία, ***ἡ***: help, aid
δεύτερον: *(adv.)* secondly
διαπονέω: to practise
διαπορέω: to be quite at a loss
διασπάω: to part forcibly, rout
διερωτάω: to examine with questions
εἶπον: to speak, say *(aor.)*
ἔξειμι: to go out *(fut.)*
ἐπιδέομαι: to need + *gen.*
ἐπιθαυμάζω: to wonder
ζῷον, ***τό***: a living being, animal
ἠρόμην: to ask, enquire *(aor.)*
ἵππος, ***ὁ***: a horse
κακῶς: *(adv.)* badly
καταναλίσκω: to devour
λέων, ***-οντος***, ***ὁ***: a lion
μάχη, ***ἡ***: battle, combat
μήτηρ, ***-τρός***, ***ἡ***: a mother
οἴομαι: to suppose, think, deem, imagine
παραγίγνομαι: to be near, attend upon
πάσχω: to suffer
πατήρ, ***-τρός***, ***ὁ***: a father
πολέμιος, ***ὁ***: an enemy
πῶς: how?
τιμωρέω: to avenge, help + *dat.*
φεύγω: to flee, take flight, run away
χρησιμώτατος, ***-η***, ***-ον***: most useful to + *dat.*
ὠφέλιμον, ***τό***: a help, useful thing

ἐπὶ τὴν μάχην: expressing purpose, "for battle"
τί κάλλιστον ἡγεῖται: the vivid form of ind. quest., "asked *what he considers best*"
φήσαντος: aor. part. gen. abs., "him *having claimed*"
παθοῦσι: aor. part. dat. pl, "them *having suffered* badly"
ἐξιοῦσι: pres. part. attrib., "most useful *to those going out* to battle"
μᾶλλον ἀλλ': "*rather than* the horse"
ὠφέλιμον: (sc. ***ἐστὶ***), pred. nom for both ***λέων*** and ***ἵππος***. Note that ***εἰπεῖν*** is in one type of ind. stat. ("that Horus *said*") but is followed by another type (***ὡς*** + finite verb)
ἐπιδεομένῳ: pres. part. dat., "a help *to someone needing* aid"
φεύγοντα: pres. part. attrib., "routing the *fleeing one*"
διασπάσαι καὶ καταναλῶσαι: aor. inf. epexegetic, "a help for *routing and destroying*"
Horus is depicted in later art destroying a crocodile from horseback, but Egyptians used them mainly for chariots. This is likely a foreign element, perhaps even from Alexander the Great, but one that is picked up later in representations of St. George. The wolf (***λύκος***) has been suggested as a better reading than ***ἵππος***, which would correspond to the god Wepwawet.

ἡσθῆναι τὸν Ὄσιριν, ὡς ἱκανῶς παρασκευασαμένου τοῦ Ὥρου. λέγεται δ' ὅτι πολλῶν μετατιθεμένων ἀεὶ πρὸς τὸν Ὧρον καὶ ἡ παλλακὴ τοῦ Τυφῶνος ἀφίκετο Θούηρις· ὄφις δέ τις ἐπιδιώκων αὐτὴν ὑπὸ τῶν περὶ τὸν Ὧρον κατεκόπη, καὶ νῦν διὰ τοῦτο σχοινίον τι προβάλλοντες εἰς μεσον κατακόπτουσι. τὴν μὲν οὖν μάχην ἐπὶ πολλὰς ἡμέρας γενέσθαι καὶ κρατῆσαι τὸν Ὧρον· τὸν Τυφῶνα δὲ τὴν Ἶσιν δεδεμένον παραλαβοῦσαν οὐκ ἀνελεῖν, ἀλλὰ καὶ λῦσαι καὶ μεθεῖναι· τὸν δ' Ὧρον οὐ μετρίως ἐνεγκεῖν, ἀλλ' ἐπιβαλόντα

ἀεί: *(adv.)* always, for ever
ἀνεῖλον: to kill *(aor.)*
ἀφικνέομαι: to arrive
δέω: to bind
ἐπιβάλλω: to lay X *(acc.)* upon Y *(dat.)*
ἐπιδιώκω: to pursue after
ἥδομαι: to take delight
ἡμέρα, ***ἡ***: a day
ἤνεγκον: to bear, endure *(aor.)*
ἱκανῶς: *(adv.)* sufficiently
κατακόπτω: to cut in pieces, cut up
κρατέω: to prevail
λύω: to loosen
μάχη, ***ἡ***: battle, fight, combat
μεθίημι: to let go, release
μέσος, ***-η***, ***-ον***: middle, in the middle
μετατίθημι: to place among
μετρίως: *(adv.)* within measure
ὄφις, ***ὁ***: a serpent, snake
παλλακή, ***ἡ***: young girl, concubine
παραλαμβάνω: to come upon
παρασκευάζω: to get ready, prepare
προβάλλω: to throw before
σχοινίον, ***τό***: a cord

ἡσθῆναι: aor. inf. pass. of ***ἥδομαι***: "that he was pleased"

παρασκευασαμένου: aor. mid. part. gen. abs. causal with ***ὡς***, "because Horus *was prepared*" i.e. in Osiris's opinion

λέγεται δ' ὅτι: impersonal, "and it is said that"

μετατιθεμένων: pres. part. gen. abs., "while many were changing sides"

ἀφίκετο: aor., "that Thoueris too *arrived*" i.e. also changed sides. This is the female hippopotamus goddess Taweret or Opet, a benign figure, unlike her male counterpart. It is perhaps this ambivalence that gave rise to the story of her desertion of Typhon.

αὐτὴν: "her" i.e. Thoueris

κατεκόπη: aor. pass. of ***κατακόπτω***, "was cut to pieces"

καὶ νῦν: indicating an aetiology for a current ritual (unknown)

μὲν οὖν μάχην: indicating a resumption of the main narrative (in ind. stat.). The story of this battle is very old, but is most completely represented in a new kingdom text generally known as "The Contendings of Horus and Seth." Its outcome establishes the living pharaoh as an embodiment of Horus.

δεδεμένον: perf. pass. part., "Typhon *having been bound*"

μεθεῖναι: aor. inf. of ***μετα-ἵημι***, "that she *released* him"

τῇ μητρὶ τὰς χεῖρας ἀποσπάσαι τῆς κεφαλῆς τὸ βασίλειον· Ἑρμῆν δὲ περιθεῖναι βούκρανον αὐτῇ κράνος. τοῦ δὲ Τυφῶνος δίκην τῷ Ὥρῳ νοθείας λαχόντος, βοηθήσαντος δὲ τοῦ Ἑρμοῦ, τὸν Ὧρον ὑπὸ τῶν θεῶν γνήσιον κριθῆναι· τὸν δὲ Τυφῶνα πολλαῖς ἄλλαις μάχαις καταπολεμηθῆναι. τὴν δ' Ἶσιν ἐξ Ὀσίριδος μετὰ τὴν τελευτὴν συγγενομένου τεκεῖν ἠλιτόμηνον καὶ ἀσθενῆ τοῖς κάτωθεν γυίοις τὸν Ἁρποκράτην.

ἀποσπάω: to tear X *(acc.)* away from Y *(gen.)*
ἀσθενής, ***-ές***: weak, feeble
βασίλειον, ***τό***: a tiara, diadem
βοηθέω: to come to aid, assist
βούκρανος, ***-ον***: cow-headed
γνήσιος, ***-α***, ***-ον***: legitimate
γυῖον, ***τό***: a limb
δίκη, ***ἡ***: a lawsuit, charge
ἠλιτόμηνος, ***-ον***: missing the right month, untimely
καταπολεμέω: to war down, defeat
κάτωθεν: (*adv.*) from below, lower
κεφαλή, ***ἡ***: the head
κράνος, ***τό***: a helmet, head-dress
κρίνω: to judge X *(acc.)* to be Y *(acc.)*
λαγχάνω: to bring (a charge) against Y *(dat.)*
μάχη, ***ἡ***: battle, fight, combat
μήτηρ, ***-τρός***, ***ἡ***: a mother
νοθεία, ***ἡ***: illegitimacy
περιτίθημι: to place X *(acc.)* round Y *(dat.)*
συγγίνομαι: to be with, have intercourse with
τελευτή, ***ἡ***: a finishing, death
τίκτω: to give birth
χείρ, ***χειρός***, ***ἡ***: the hand

τὸ βασίλειον: Plutarch here softens the Egyptian version, in which Horus decapitates Isis.

περιθεῖναι: aor. inf., "but that Hermes (= Egyptian Thoth) *placed around* her"

βούκρανον κράνος: In the Egyptian version it is a cow's *head* with which Thoth replaces Isis' own head, which accords with one of her visual representations

δίκην .... λαχόντος: aor. part. gen. abs., "*having brought a charge* of X (*gen.*) against Y (*dat.*) Here again there seems to be some slippage between Horus the son of Osiris and Horus the son of Atum-Ra (Haroueris), for it the latter who appears in the Egyptian accounts of the legitimacy suit. That issue is whether Haroueris, who was born on the second epogonal day, should succeed Osiris, or whether it should be Seth, who was born the next day. The contest between two brothers becomes conflated with the contest between uncle and nephew.

βοηθήσαντος: aor. part., "with Hermes *having helped*"

κριθῆναι: aor. in. pass. "that Horus *was judged*"

καταπολεμηθῆναι: aor. inf. pass., "that he *was defeated*"

μετὰ τὴν τελευτὴν: "after his death" Isis became pregnant with the phallus she produced for him in some accounts

Ἁρποκράτην: the name imitates an Egyptian word meaning "Horus the child." This character is clearly not the same as Horus the powerful avenger of Osiris, but another facet of the Egyptian accounts (Horus as the new-born sun). This is Plutarch's only allusion to the posthumous conception of Horus.

20. ***ταῦτα σχεδόν ἐστι τοῦ μύθου τὰ κεφάλαια τῶν δυσφημοτάτων ἐξαιρεθέντων, οἷόν ἐστι τὸ περὶ τὸν Ὧρου διαμελισμὸν καὶ τὸν Ἴσιδος ἀποκεφαλισμόν. ὅτι μὲν οὖν, εἰ ταῦτα περὶ τῆς μακαρίας καὶ ἀφθάρτου φύσεως, καθ' ἣν μάλιστα νοεῖται τὸ θεῖον, ὡς ἀληθῶς πραχθέντα καὶ συμπεσόντα δοξάζουσι καὶ λέγουσιν, ἀποπτύσαι δεῖ καὶ καθήρασθαι τὸ στόμα κατ' Αἰσχύλον, οὐδὲν δεῖ λέγειν πρὸς σέ· καὶ γὰρ αὐτὴ δυσκολαίνεις τοῖς οὕτω παρανόμους καὶ βαρβάρους δόξας περὶ θεῶν ἔχουσιν· ὅτι δ' οὐκ ἔοικε ταῦτα κομιδῇ μυθεύμασιν ἀραιοῖς καὶ διακένοις πλάσμασιν, οἷα***

ἀποκεφαλισμός, ***ὁ***: beheading
ἀποπτύω: to spit out
ἀραιός, ***-α***, ***-ον***: thin, slight
ἄφθαρτος, ***-ον***: uncorrupted
βάρβαρος, ***-ον***: barbarous
δεῖ: it is necessary to + *inf.*
διάκενος, ***-ον***: quite empty
διαμελισμός, ***ὁ***: dismemberment
δόξα, ***ἡ***: a notion, opinion
δοξάζω: to believe
δυσκολαίνω: to be annoyed with + *dat.*
δυσφημότατος, ***-η***, ***-ον***: most shameful
ἐξαιρέω: to take out of
ἔοικα: to be like + *dat. (perf.)*
θεῖον, ***τὸ***: divinity, the divine nature
καθαίρω: to cleanse, clean, purge
κεφάλαια, ***τά***: the main points
κομιδῇ: *(adv.)* exactly, just
μακάριος, ***-α***, ***-ον***: blessed, happy
μύθευμα, ***-ατος***, ***τό***: a story, tale
μῦθος, ***ὁ***: word, story
νοέω: to perceive with the mind
οἷα: such as
οἷον: *(adv.)* such as
οὕτω: *(adv.)* in this way
παράνομος, ***-ον***: lawless
πλάσμα, ***-ατος***, ***τό***: a fiction
πράττω: to do
στόμα, ***τό***: the mouth
συμπίπτω: to befall, happen
σχεδόν: *(adv.)* closely, nearly
φύσις, ***ἡ***: the nature

ἐξαιρεθέντων: aor. part. pass. gen. abs. "some *having been removed*"

διαμελισμὸν: in some accounts Isis disfigures Horus by cutting off his hands

ὡς ἀληθῶς πραχθέντα καὶ συμπεσόντα: aor. part. in ind. stat., "believe that these things *were truly done and happened*"

δοξάζουσι καὶ λέγουσιν ... οὐδὲν δεῖ: pres. simple condition, "if they believe and say, then it is not necessary"

κατ' Αἰσχύλον: from a lost play

καὶ γὰρ αὐτὴ: "for really you yourself" addressed to Clea

ὅτι δ' οὐκ ἔοικε: "that they do not resemble" dependent on ***γινώσκεις*** below, still addressed to Clea

ποιηταὶ καὶ λογογράφοι καθάπερ οἱ ἀράχναι γεννῶντες ἀφ' ἑαυτῶν ἀπαρχὰς ἀνυποθέτους ὑφαίνουσι καὶ ἀποτείνουσιν, ἀλλ' ἔχει τινὰς ἀπορίας καὶ παθῶν διηγήσεις, γινώσκεις αὐτή. καὶ καθάπερ οἱ μαθηματικοὶ τὴν ἶριν ἔμφασιν εἶναι τοῦ ἡλίου λέγουσι ποικιλλομένην τῇ πρὸς τὸ νέφος ἀνακλάσει τῆς ὄψεως, [359] οὕτως ὁ μῦθος ἐνταῦθα λόγου τινὸς ἔμφασίς ἐστιν ἀνακλῶντος ἐπ' ἄλλα τὴν διάνοιαν, ὡς ὑποδηλοῦσιν αἵ τε θυσίαι τὸ πένθιμον ἔχουσαι καὶ σκυθρωπὸν ἐμφαινόμενον αἵ τε τῶν ναῶν διαθέσεις πῇ μὲν ἀνειμένων εἰς πτερὰ καὶ

ἀνάκλασις, ***-εως***, ***ἡ***: a bending back, reflection
ἀνακλάω: to bend back, reflect
ἀνίημι: to send up, open up
ἀνυπόθετος, ***-ον***: unsupported
ἀπαρχή, ***ἡ***: a first principle
ἀπορία, ***ἡ***: a difficulty, helplessness
ἀποτείνω: to stretch out, extend
ἀράχνης, ***-ου***, ***ὁ***: a spider
γεννάω: to beget, engender
γινώσκω: to know
διάθεσις, ***-εως***, ***ἡ***: a disposition, arrangement
διάνοια, ***ἡ***: a thought, intention, purpose
διήγησις, ***-εως***, ***ἡ***: a narrative
ἐμφαίνω: to exhibit, reflect
ἔμφασις, ***-εως***, ***ἡ***: a manfestation, reflection
ἥλιος, ***ἡλίου***, ***ὁ***: the sun
θυσία, ***ἡ***: a mode of sacrifice
ἶρις, ***-ιδος***, ***ἡ***: rainbow
καθάπερ: just like
λογογράφος, ***ὁ***: a prose-writer
μαθηματικός, ***ὁ***: a scientist
μῦθος, ***ὁ***: word, story
ναός, ***ὁ***: a temple
νέφος, ***-εος***, ***τό***: a cloud
ὄψις, ***-εως***, ***ἡ***: appearance
πάθος, ***τό***: a suffering
πένθιμος, ***-ον***: mournful, sorrowful
πῆ: *(adv.)* where
ποιητής, ***-οῦ***, ***ὁ***: a poet
ποικίλλω: to work in various colours
πτερόν, ***τό***: a wing (of a building)
σκυθρωπός, ***-όν***: sullen
ὑποδηλόω: to show subtlety
ὑφαίνω: to weave

γεννῶντες: pres. part. attrib., "poets *engendering* from themselves like spiders"
ἀλλ' ἔχει: "*but they have,* you yourself know"
πρὸς τὸ νέφος: "towards a cloud" which then reflects it
ἐνταῦθα: "here" i.e. in this material world as opposed to the world of ideas
λόγου τινὸς: gen. "reflection *of a certain rational system* "
ἐπ' ἄλλα τὴν διάνοιαν: "reflecting *the mind* back *to other things*" i.e. causing the mind to contemplate other things
ἐμφαινόμενον: pres. part. attrib., obj. of ***ἔχουσαι***, "with their sorrowful *displaying*" i.e. appearance
πῆ μὲν ἀνειμένων... πῆ δὲ ... ἐχόντων: correlative particles with gen. participles agreeing with ***τῶν ναῶν***, "of the temples, *in some places opening up ... while others having*"

δρόμους ὑπαιθρίους καὶ καθαρούς, πῇ δὲ κρυπτὰ καὶ σκότια κατὰ γῆς ἐχόντων στολιστήρια θηκαίοις ἐοικότα καὶ σηκοῖς, οὐχ ἥκιστα δ' ἡ τῶν Ὀσιρείων δόξα, πολλαχοῦ κεῖσθαι λεγομένου τοῦ σώματος· τήν τε γὰρ Θίνην ὀνομάζεσθαι πολίχνην λέγουσιν, ὡς μόνην τὸν ἀληθινὸν ἔχουσαν, ἔν τ' Ἀβύδῳ τοὺς εὐδαίμονας τῶν Αἰγυπτίων καὶ δυνατοὺς μάλιστα θάπτεσθαι φιλοτιμουμένους ὁμοτάφους εἶναι τοῦ σώματος Ὀσίριδος. ἐν δὲ Μέμφει τρέφεσθαι τὸν Ἆπιν εἴδωλον ὄντα τῆς ἐκείνου ψυχῆς, ὅπου καὶ τὸ σῶμα κεῖσθαι· καὶ τὴν μὲν πόλιν οἱ μὲν ὅρμον ἀγαθῶν ἑρμηνεύουσιν, οἱ δ' ὡς τάφον

Ἄβυδος, **ἡ**: a city in upper Egypt
ἀγαθός, **-ή**, **-όν**: good
ἀληθινός, **-ή**, **-όν**: true
δρόμος, **ὁ**: a course, colonnade
δυνατός, **-ή**, **-όν**: powerful
εἴδωλον, **τό**: an image
ἔοικα: to seem like + *dat. (perf.)*
ἑρμηνεύω: to interpret
εὐδαίμων, **-ον**: fortunate, wealthy
ἥκιστα: *(adv.)* least
θάπτω: to honour with funeral rites, bury
θηκαῖον, **τό**: a chest or coffin
θινίς, **ἡ**: a town near Abydos in up per Egypt
ἰδίως: *(adv.)* properly
καθαρός, **-ά**, **-όν**: clean, spotless
κεῖμαι: to be laid, to lie
κρυπτός, **-ή**, **-όν**: hidden, secret
μόνος, **-η**, **-ον**: only
ὁμόταφος, **-ον**: buried together + *gen.*
ὀνομάζω: to name
ὅρμος, **ὁ**: a haven, refuge
Ὀσιρεῖον, **τό**: the temple of Osiris
πολίχνη, **ἡ**: a small town
πολλαχοῦ: *(adv.)* in many places
σηκός, **ὁ**: a secret enclosure
σκότιος, **-α**, **-ον**: dark
στολιστήριον, **τό**: a dressing room, vestry
σῶμα, **σώματος**, **τό**: the body
τάφος, **ὁ**: a tomb
τρέφω: to nourish, rear
ὑπαίθριος, **-ον**: in the open air
φιλοτιμέομαι: to strive eagerly to + *inf.*

κατὰ γῆς: "underground"

τῶν Ὀσιρείων: gen. objective, "the belief *about the temples of Osiris*"

λεγομένου: pres. part. pass. gen. abs., "the body *being said* to lie"

ἔχουσαν: pres. part. causal with **ὡς**, "*because having* the true (body)" apparently making a pun on **Θίνην** and **ἀληθινὸν**

ἔν τ' Ἀβύδῳ: Abydos was early on a preferred site for burial by the rich and powerful

ἐν δὲ Μέμφει: the capital of Egypt in the Old Kingdom and center of the cult of Apis, originally associated with Ptah, then with Osiris

τῆς ἐκείνου ψυχῆς: the "ba" was the aspect of the soul that could travel between the afterworld and this one, and was usually represented as a bird body or some other animal

τὴν μὲν πόλιν: although these accounts of the name Memphis are not correct, they seem to be based on Egyptian expressions.

Ὀσίριδος. τὴν δὲ πρὸς πύλαις νησῖδα τὴν ἄλλως μὲν ἄβατον ἅπασι καὶ ἀπροσπέλαστον εἶναι καὶ μηδ' ὄρνιθας ἐπ' αὐτὴν καταίρειν μηδ' ἰχθῦς προσπελάζειν, ἐνὶ δὲ καιρῷ τοὺς ἱερεῖς διαβαίνοντας ἐναγίζειν καὶ καταστέφειν τὸ σῆμα μηθίδος φυτῷ περισκιαζόμενον ὑπεραίροντι πάσης ἐλαίας μέγεθος.

ἄβατος, **-ον**: untrodden
ἄλλως: *(adv.)* otherwise
ἅπας, **ἅπασα**, **ἅπαν**: quite all
ἀπροσπέλαστος, **-ον**: unapproachable
διαβαίνω: to cross over
ἐλαία, **ἡ**: the olive-tree
ἐναγίζω: to offer sacrifice to the dead
ἱερεύς, **-εως**, **ὁ**: a priest, sacrificer
ἰχθύς, **-υός**, **ὁ**: fish
καιρός, **ὁ**: proper time, occasion
καταίρω: to come down, make a swoop
καταστέφω: to deck with garlands
μέγεθος, **-εος**, **τό**: size, stature
μηθίς, **μηθίδος**, **ἡ**: an Egyptian plant
νησίς, **νησῖδος**, **ἡ**: a little island
ὄρνις, **ὄρνιθος**, **ὁ**: a bird
περισκιάζομαι: to be shaded
προσπελάζω: to come near
σῆμα, **-ατος**, **τό**: a tomb marker
ὑπεραίρομαι: to rise up over, surpass + *gen.*
φυτόν, **τό**: a plant, tree

πρὸς πύλαις: "the island *near the gates*" perhaps referring to the boundary between Egypt and its southern neighbor, making "the island" Philae or Biga near modern Aswan, or to a temple there. Some editors amend **πύλαις** to **Φιλαῖς**.

ἄλλως μὲν ... ἐνὶ δὲ καιρῷ: "while otherwise inaccessible ... yet on one occasion"

εἶναι ... προσπελάζειν: note the return to ind. stat. after the previous statement in the present tense (**ἑρμηνεύουσιν**).

φυτῷ: dat. instrumental, "shaded *by a plant* of methis"

μέγεθος: acc. of respect, "surpassing *in size*"

A small number of important verbs lack a present form. The principal parts of these words are thus a melange of different stems. The glossary will list the stem occuring in the text with an indication of its tense: e.g., **ἦλθον** (*aor.*), not with the corresponding present indicative.

ἔρχομαι, **εἶμι** (*fut.*), **ἦλθον** (*aor.*), **ἐλήλουθα** (*perf.*)
φερω, **οἴσομαι** (*fut.*), **ἤνεγκα** (*aor.*)
λέγω, **ἐρέω** (*fut.*), **εἶπον** (*aor.*), **εἴρηκα** (*perf.*)
αἱρέω, **αἱρήσω**, **εἷλον** (*aor.*)
ὁράω, **ὄψομαι** (*fut.*), **εἶδον** (*aor.*), **ὄπωπα** (*perf.*) ὤφθην (aor. pass.)

Some perfect forms are used as a present tense and are listed thus:
οἶδα: to know (*perf.*) also **σύνοιδα**
ἔοικα: to seem (*perf.*), also **προσέοικα**, **ἀπέοικα**
δέδια: to fear (*perf.*)

21. Εὔδοξος δὲ πολλῶν τάφων ἐν Αἰγύπτῳ λεγομένων ἐν Βουσίριδι τὸ σῶμα κεῖσθαι· καὶ γὰρ πατρίδα ταύτην γεγονέναι τοῦ Ὀσίριδος· οὐκέτι μέντοι λόγου δεῖσθαι τὴν Ταφόσιριν· αὐτὸ γὰρ φράζειν τοὔνομα «ταφὴν Ὀσίριδος.» ἐῶ δὲ τομὴν ξύλου καὶ σχίσιν λίνου καὶ χοὰς χεομένας διὰ τὸ πολλὰ τῶν μυστικῶν ἀναμεμῖχθαι τούτοις. οὐ μόνον δὲ τούτων οἱ ἱερεῖς λέγουσιν, ἀλλὰ καὶ τῶν ἄλλων θεῶν, ὅσοι μὴ ἀγέννητοι μηδ' ἄφθαρτοι, τὰ μὲν σώματα παρ' αὐτοῖς κεῖσθαι καμόντα καὶ θεραπεύεσθαι, τὰς δὲ ψυχὰς ἐν οὐρανῷ λάμπειν ἄστρα καὶ καλεῖσθαι «κύνα» μὲν τὴν Ἴσιδος ὑφ'

ἀγέννητος, -ον: unbegotten, unborn
ἀναμιγνύω: to mix up X *(acc.)* with Y *(dat.)*
ἄστρα, τά: the stars
ἄφθαρτος, -ον: uncorrupted, incorruptible
γίνομαι: to become
ἐάω: to allow, leave aside
θεραπεύω: to be an attendant, do service
κάμνω: to be distressed, weakened
κύων, κυνός, ἡ: a dog, the dog star Sirius
λάμπω: to shine, beam
λίνον, τό: anything made of flax, linen
μόνον: *(adv.)* only
μυστικός, -ή, -όν: connected with the mysteries
ξύλον, τό: wood.
ὅσος, -η, -ον: as many as
οὐρανός, ὁ: heaven
πατρίς, -ίδος, ἡ: fatherland
σχίσις, ἡ: a rending
ταφή, ἡ: burial
Ταφόσιρις, ἡ: a city in lower Egypt
τομή, ἡ: a cutting
φράζω: to mean
χέω: to pour
χοή, ἡ: a drink-offering
ψυχή, ἡ: a soul
Ὠρίων, -ωνος, ὁ: the constellation

λεγομένων: gen. abs., "while many *are claimed*"
ἐν Βουσίριδι: the name means "house of Osiris" and is in lower Egypt
γεγονέναι: inf. perf. of ***γίνομαι***, "(claims) that this *is*" but Egyptian sources do not name Bursiris as the birthplace of Osiris
οὐκέτι μέντοι: "that it is *certainly no longer* in need of explanation"
χοὰς: acc. internal, "*drink-offerings* poured out"
ἀναμεμῖχθαι: inf. perf. articular, "on account of *the having mixing together*" Plutarch expresses a common reluctance to discuss details of Osirian rites.
τούτων ... τῶν ἄλλων θεῶν: gen. pl., "not only the bodies *of these* ... but also *of the other gods*" with the latter expression referring to the pharaohs
παρ' αὐτοῖς: "that they lie *among them*" i.e. in the care of the priests
καμόντα: aor. part., "once they have died"
ἄστρα: acc. pred., "they shine *as stars*" an authentic Egyptian belief
τὴν Ἴσιδος: (sc. ***ψυχήν***), "the (soul) of Isis"

Ἑλλήνων, ὑπ' Αἰγυπτίων δὲ «Σῶθιν,» Ὡρίωνα δὲ τὴν Ὥρου, τὴν δὲ Τυφῶνος ἄρκτον. εἰς δὲ τὰς ταφὰς τῶν τιμωμένων ζῴων τοὺς μὲν ἄλλους συντεταγμένα τελεῖν, μόνους δὲ μὴ διδόναι τοὺς Θηβαΐδα κατοικοῦντας, ὡς θνητὸν θεὸν οὐδένα νομίζοντας, ἀλλ' ὃν καλοῦσιν αὐτοὶ «Κνήφ,» ἀγέννητον ὄντα καὶ ἀθάνατον.

ἀθάνατος, ***-ον***: undying, immortal
ἄρκτος, ***ἡ***: a bear, the ursa maior constellation
δίδωμι: to give
ζῷον, ***τό***: a living being, animal
θνητός, ***-η***, ***-όν***: liable to death, mortal
κατοικέω: to dwell in, inhabit + *acc.*
συντάττω: to assess (taxes)
ταφή, ***ἡ***: burial
τελέω: to complete, fulfil, accomplish
τιμάω: to honor

Σῶθιν: The Egyptian name for the dog star, whose heliacal rising marked the beginning of the Nile flood

τοὺς μὲν ἄλλους ... μόνους δὲ: acc. subject of ***τελεῖν***, "*that while others* pay ... *only the* Thebans do not"

συντεταγμένα: perf. part. pass. attrib. neut. pl., "pay *the assessments*"

νομίζοντας: pres. part. causal with ***ὡς***, "*since they acknowledge* no mortal god"

Κνήφ: the primitive serpent god of Egyptian Thebes, who came into existence by himself. He later was incorporated into the personality of the Theban creator god Amun.

ὄντα: pres. part. causal, "*since he is* unbegotten and immortal"

εἶμι

Of the small number of important defective verbs, ***εἶμι***, the form used for the future indicative of ***ἔρχομαι***, is especially important and especially defective. In composition it looks identical to forms of ***εἰμί*** (to be): ***πάρειμι***, ***σύνειμι***, etc. In our vocabulary lists, words based on ***εἶμι*** are designated as future (*fut.*) to distinguish it from ***εἰμί*** (to be), even though the non-indicative forms from this stem are all part of the present system (participle ***ἰών***, infinitive ***ἰέναι***, subjunctive ***ἴω***, optative ***ἴοιμι***, imperative ***ἴθι*** and ***ἴτε***). These forms are used instead of the parallel forms of ***ἔρχομαι***, but are not "future." Also from ***εἶμι*** is the imperfect indicative ***ᾔα*** (I went). For the aorist, forms of ***ἦλθον*** are used, from which is also derived the perfect ***ἐλήλουθα***. The principal parts are thus:

ἔρχομαι, ***εἶμι***, ***ἦλθον***, ***ἐλήλουθα***.

22. πολλῶν δὲ τοιούτων λεγομένων καὶ δεικνυμένων οἱ μὲν οἰόμενοι βασιλέων ταῦτα καὶ τυράννων δι' ἀρετὴν ὑπερφέρουσαν ἢ δύναμιν ἢ ἀξίωμα τῇ δόξῃ θεότητος ἐπιγραψαμένων εἶτα χρησαμένων τύχαις ἔργα καὶ πάθη δεινὰ καὶ μεγάλα διαμνημονεύεσθαι, ῥᾴστῃ μὲν ἀποδράσει τοῦ λόγου χρῶνται καὶ τὸ δύσφημον οὐ φαύλως ἀπὸ τῶν θεῶν ἐπ' ἀνθρώπους μεταφέρουσι καὶ ταύτας ἔχουσιν ἀπὸ τῶν ἱστορουμένων βοηθείας. ἱστοροῦσι γὰρ Αἰγύπτιοι τὸν μὲν Ἑρμῆν τῷ σώματι γενέσθαι γαλιάγκωνα, τὸν δὲ Τυφῶνα

ἄνθρωπος, ***ὁ***: a man, person
ἀξίωμα, ***-ατος***, ***τό***: an honour, dignity
ἀπόδρασις, ***-εως***, ***ἡ***: an escape, evasion of + *gen.*
ἀρετή, ***ἡ***: excellence
βοήθεια, ***ἡ***: help, support
γαλιάγκων, ***-ωνος***, ***ὁ***: having short arms
γίνομαι: to become
δεικνύμι: to display, exhibit
δεινός, ***-ή***, ***-όν***: terrible
διαμνημονεύω: to call to mind, remember
δόξα, ***ἡ***: a reputation, opinion
δύναμις, ***-εως***, ***ἡ***: power, might, strength
δύσφημον, ***τό***: shamefulness
εἶτα: then, next
ἐπιγράφω: to write, compose
ἔργον, ***τό***: a work, deed
θεότης, ***-ητος***, ***ἡ***: divinity, divine nature
ἱστορέω: to record history
μεγάς, ***μεγάλα***, ***μεγά***: great
μεταφέρω: to transfer X *(acc.)* to (***ἐπὶ***)
πάθος, ***τό***: an incident, accident
ῥᾴστος, ***-α***, ***-ον***: most easy, ready
τοιοῦτος, ***-αύτη***, ***-οῦτο***: such as this
τύραννος, ***ὁ***: an absolute sovereign
τυχή, ***ἡ***: fate, fortune
ὑπερφέρω: to surpass
φαύλως: *(adv.)* easily, carelessly

οἱ μὲν οἰόμενοι: "some supposing" these are the followers of Euhemerus (fl. 4th c. BCE), who believed the gods were great men who were mythologized. This method is critiqued in the next several sections.

βασιλέων ταῦτα: "that *these* (deeds) were *of kings*"

ἐπιγραψαμένων: aor. part. mid., "the kings *having inscribed for themselves* the dignity" i.e. having added it to their reputation

χρησαμένων τύχαις: "then *having become subject to fate*" i.e. to have died

διαμνημονεύεσθαι: pres. inf. after ***οἰόμενοι***, "some supposing that these (deeds) *were remembered*"

τοῦ λόγου: gen. after ***ἀποδράσει***, "use an evasion *of the true account*"

συνοικειοῦντες καὶ λέγοντες: part. after ***χαίρουσι***, "those rejoicing *in associating* divine things with these things and in saying" i.e. by cosmic allegories

θάπτεσθαι ... ἀναβιοῦσθαι καὶ ἀναφαίνεσθαι: pres. inf. in ind. stat., "saying *that he is buried ... that he is resurrected and reappears*"

λέγεσθαι: pres. inf. in ind. stat., "that for this reason *it is said*"

αἰσθομένην: aor. part. circumstantial, "said that Isis, *having preceived* that she was pregnant"

περιάψασθαι ... τίκτεσθαι: Note the mix of tenses in indirect statement; the present infinitive cannot be understood as representing an imperfect tense in this case.

ἱσταμένου: pres. part. gen., "on the sixth from the month *beginning*"

Φαωφί: a month in the fall corresponding roughly to October

ἐν τοῖς προανθοῦσι καὶ προβλαστάνουσι: pres. part., "among (plants) flowering and blooming early"

φακῶν ... φυομένων: "offerings *of budding lentils*"

λοχείους ἡμέρας: "celebrate *the days of confinement*" i.e. of Isis

ταῦτα γὰρ ἀκούοντες ἀγαπῶσι καὶ πιστεύουσιν, αὐτόθεν ἐκ τῶν προχείρων καὶ συνήθων τὸ πιθανὸν ἕλκοντες.

66. *καὶ δεινὸν οὐδέν, ἂν πρῶτον μὲν ἡμῖν τοὺς θεοὺς φυλάττωσι κοινοὺς καὶ μὴ ποιῶσιν Αἰγυπτίων ἰδίους μηδὲ Νεῖλον ἥν τε Νεῖλος ἄρδει μόνην χώραν τοῖς ὀνόμασι τούτοις καταλαμβάνοντες μηδ' ἕλη μηδὲ λωτοὺς μόνην θεοποιίαν λέγοντες ἀποστερῶσι μεγάλων θεῶν τοὺς ἄλλους ἀνθρώπους, οἷς Νεῖλος μὲν οὐκ ἔστιν οὐδὲ Βοῦτος οὐδὲ Μέμφις, Ἶσιν δὲ καὶ τοὺς περὶ αὐτὴν θεοὺς ἔχουσι καὶ γιγνώσκουσιν ἅπαντες,*

ἀγαπάω: to love
ἀκούω: to hear
ἀποστερέω: to rob, deprive X *(acc.)* of Y *(gen.)*
ἄρδω: to water, moisten
αὐτόθεν: *(adv.)* immediately
γιγνώσκω: to know
δεινός, **-ή**, **-όν**: fearful, strange
ἕλκω: to draw, derive X (*acc.*) from (**ἐκ**)
ἕλος, **-εος**, **τό**: low ground by rivers
θεοποιία, **ἡ**: a work of the gods
ἴδιος, **-α**, **-ον**: one's own, private
καταλαμβάνω: to understand
κοινός, **-ή**, **-όν**: common, shared in common
λωτός: the lotus
μεγάς, **μεγάλα**, **μεγά**: great
μόνος, **-η**, **-ον**: only
πιθανός, **-ή**, **-όν**: persuasive
πιστεύω: to trust, believe
ποιέω: to make
πρόχειρος, **-ον**: at hand, ready
συνήθης, **-ες**: customary, familiar
φυλάττω: to guard, preserve
χώρα, **ἡ**: a space, land

ταῦτα γὰρ ἀκούοντες: i.e. those hearing such vulgar opinions
πρῶτον: adverbial, "if *in the first place*"
ἂν ... φυλάττωσι ... μὴ ποιῶσιν: pres. subj. in present general protasis, "if they preserve ... do not make" i.e. so long as they preserve and do not make
ἰδίους: acc. pred., "do not make the gods *private* of the Egyptians" i.e. make them only their gods
Νεῖλον ... χώραν: "the Nile and the land which the Nile waters" i.e. only Egypt
καταλαμβάνοντες ... λέγοντες: instrumental, "deprive *by understanding* with these names ... *by claiming*"
μόνην θεοποιίαν: acc. pred., "claiming these to be *the only divine work*"
μηδέ ... ἀποστερῶσι: pres. subj. also present general protasis, "and if *they do not deprive* others"
οἷς Νεῖλος μὲν... Μέμφις: "the others *to whom, while there is no Nile*, etc."
Ἶσιν δὲ: "*still Isis* they all have and know"

ἐνίους μὲν οὐ πάλαι τοῖς παρ' Αἰγυπτίων ὀνόμασι καλεῖν μεμαθηκότες, ἑκάστου δὲ τὴν δύναμιν ἐξ ἀρχῆς ἐπιστάμενοι καὶ τιμῶντες· δεύτερον, ὃ μεῖζόν ἐστιν, ὅπως σφόδρα προσέξουσι καὶ φοβήσονται, μὴ λάθωσιν εἰς πνεύματα καὶ ῥεύματα καὶ σπόρους καὶ ἀρότους καὶ πάθη γῆς καὶ μεταβολὰς ὡρῶν διαγράφοντες τὰ θεῖα καὶ διαλύοντες, ὥσπερ οἱ Διόνυσον τὸν οἶνον, Ἥφαιστον δὲ τὴν φλόγα· Φερσεφόνην δέ φησί που Κλεάνθης «τὸ διὰ τῶν καρπῶν φερόμενον καὶ φονευόμενον πνεῦμα,» ποιητὴς δέ τις ἐπὶ τῶν θεριζόντων·

ἄροτος, **ὁ**: a corn-field
διαγράφω: to outline, reduce X *(acc.)* to (**εἰς**)
διαλύω: to loose, undo
ἕκαστος, **-η**, **-ον**: each one
ἐπίσταμαι: to know
θεῖος, **-α**, **-ον**: divine
θερίζω: to reap
καρπός, **ὁ**: fruit
λανθάνω: to escape notice + *part.*
μανθάνω: to learn
μείζων, **-ον**: greater
μεταβολή, **ἡ**: a change
οἶνος, **ὁ**: wine
πάθος, **τό**: an incident
πάλαι: *(adv.)* long ago
ποιητής, **-οῦ**, **ὁ**: a poet
προσέχω: to hold to, heed
ῥεῦμα, **-ατος**, **τό**: stream, current
σπόρος, **ὁ**: a sowing
σφόδρα: *(adv.)* very, very much
φέρω: to bear
φλόξ, **ἡ**: a flame
φοβέω: to put to flight
φονεύω: to kill, slay
ὥρα, **ἡ**: period of time, season

ἐνίους μὲν: acc. object of **καλεῖν**, "while some (of the gods)"
τοῖς παρ' Αἰγυτίων ὀνόμασι: "call *by their Egyptian names*"
μεμαθηκότες: perf., "all *having come to learn* lately to call some (of the gods)"
ἑκάστου δὲ τὴν δύναμιν: "still the power of each"
δεύτερον: adverbial, "in the second place" after **πρῶτον** above
ὅπως προσέξουσι καὶ φοβήσονται: fut. in urgent exhortation (Smyth 1920) with a verb of caution understood, "(see to it) *that they heed and fear*"
μὴ λάθωσιν: aor. subj. after verb of fearing, "fear *lest those escape the notice*" + *part.*
εἰς πνεύματα: "reduce *into winds*, etc."
διαγράφοντες ... **διαλύοντες**: part. supplementary after **λάθωσιν**, "escape the notice *in reducing ... in loosening*" i.e. lest one unknowingly reduce and loosen
Φερσεφόνην: Phersephone or Persephone was the daughter of Demeter and the wife of Hades
Κλεάνθης: Cleanthes (331-233 BCE) was the second head of the Stoic school
φερόμενον ... **φονευόμενον**: pres. part. pass., "the wind *which is carried ... which dies away*"
ποιητὴς δέ τις: an unknown epic poet

τῆμος ὅτ' αἰζηοὶ Δημήτερα κωλοτομεῦσιν οὐδὲν γὰρ οὗτοι διαφέρουσι τῶν ἱστία καὶ κάλους καὶ ἄγκυραν ἡγουμένων κυβερνήτην καὶ νήματα καὶ κρόκας ὑφάντην καὶ σπονδεῖον ἢ μελίκρατον ἢ πτισάνην ἰατρόν· ἀλλὰ δεινὰς καὶ ἀθέους ἐμποιοῦσι δόξας, ἀναισθήτοις καὶ ἀψύχοις καὶ φθειρομέναις ἀναγκαίως ὑπ' ἀνθρώπων δεομένων καὶ χρωμένων φύσεσι καὶ πράγμασιν ὀνόματα θεῶν ἐπιφέροντες. ταῦτα μὲν γὰρ αὐτὰ νοῆσαι θεοὺς οὐκ ἔστιν:

ἄγκυρα, ***ἡ***: an anchor
ἄθεος, ***-ον***: denying the gods
αἰζηός, ***ὁ***: strong, vigorous
ἀναγκαίως: *(adv.)* necessarily
ἀναίσθητος, ***-ον***: imperceptible
ἄψυχος, ***-ον***: lifeless, inanimate
δεινός, ***-ή***, ***-όν***: fearful, terrible
δέομαι: to need
διαφέρω: to differ from + *gen.*
δόξα, ***ἡ***: a notion, opinion
ἐμποιέω: to insert
ἐπιφέρω: to transfer X (acc.) to Y *(dat.)*
ἰατρός, ***ὁ***: a doctor
ἱστίον, ***τό***: a sail
κάλως, ***-ου***, ***ὁ***: a reefing rope
κρόκη, ***ἡ***: the woof (of a loom)
κυβερνήτης, ***-ου***, ***ὁ***: a steersman, pilot
κωλοτομέω: cut the limbs off X *(acc.)*
μελίκρατον, ***τό***: a drink of honey and milk
νῆμα, ***-ατος***, ***τό***: thread
νοέω: to think, have in mind
ὅτε: when
πρᾶγμα, ***-ατος***, ***τό***: a deed, act
πτισάνη, ***ἡ***: a barley gruel used in medicine
σπονδεῖον, ***τό***: a cup
τῆμος: *(adv.)* then, at that time
ὑφάντης, ***-ου***, ***ὁ***: a weaver
φθείρω: to ruin, waste

αἰζηοὶ: "the strong (reapers)"

οὐδὲν: acc. of extent, "they differ *not at all*"

οὗτοι: i.e. those who identify the god with a physical thing

κυβερνήτην ... ὑφάντην ... ἰατρόν: acc. pred., "consider these things to be *the steersman ...* to be *the weaver ...* to be *the doctor*"

ἀναισθήτοις καὶ ἀψύχοις καὶ φθειρομέναις: dat. after ***ἐπιφέροντες***, "by transferring *to imperceptible and inanimate (things) that are destroyed*" these words are all feminine agreeing with ***φύσεσι*** below

ὑπ' ἀνθρώπων: agency, "destroyed *by men*"

φύσεσι καὶ πράγμασιν: also dat. after ***ἐπιφέροντες*** interrupted by the phrase ***ὑπ' ... χρωμένων***, "by transferring *to natural things and deeds*"

ἐπιφέροντες: instrumental, "they insert *by transferring*"

ταῦτα ... αὐτὰ: "that *these very things* (are) gods" vs. the idea that the gods are *forces*

οὐκ ἔστιν: "it is not possible" + *inf.*

67. *οὐ γὰρ ἄνουν οὐδ' ἄψυχον οὐδ' ἀνθρώποις ὁ θεὸς ὑποχείριον· ἀπὸ τούτων δὲ τοὺς χρωμένους αὐτοῖς καὶ δωρουμένους ἡμῖν καὶ παρέχοντας ἀένναα καὶ διαρκῆ θεοὺς ἐνομίσαμεν, οὐχ ἑτέρους παρ' ἑτέροις οὐδὲ βαρβάρους καὶ Ἕλληνας οὐδὲ νοτίους καὶ βορείους· ἀλλ' ὥσπερ ἥλιος καὶ σελήνη καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα κοινὰ πᾶσιν, ὀνομάζεται δ' ἄλλως ὑπ' ἄλλων, οὕτως ἑνὸς λόγου τοῦ ταῦτα κοσμοῦντος καὶ μιᾶς προνοίας ἐπιτροπευούσης* [378] *καὶ δυνάμεων ὑπουργῶν ἐπὶ πάντα τεταγμένων ἕτεραι παρ' ἑτέροις κατὰ νόμους γεγόνασι τιμαὶ καὶ προσηγορίαι, καὶ*

ἀέννaος, ***-ον***: ever-flowing
ἄλλως: *(adv.)* otherise
ἄνοος, ***-ουν***: without mind
ἄψυχος, ***-ον***: without soul
βάρβαρος, ***-ον***: non-Greek
βόρειος, ***-α***, ***-ον***: northern
διαρκής, ***-ές***: quite sufficient
δύναμις, ***-εως***, ***ἡ***: power, might, strength
δωρέομαι: to give, present
ἐπιτροπεύω: to administer, govern
θάλασσα, ***ἡ***: the sea
κοινός, ***-ή***, ***-όν***: common to + *dat.*
κοσμέω: to order, arrange
νόμος, ***ὁ***: a law
νότιος, ***-α***, ***-ον***: southern
οὐρανός, ***ὁ***: heaven
παρέχω: to furnish, provide, supply
πρόνοια, ***ἡ***: foresight, providence
προσηγορία, ***ἡ***: a name
σελήνη, ***ἡ***: the moon
τάττω: to arrange, assign
τιμή, ***ἡ***: an honor
ὑπουργός, ***-όν***: rendering service
ὑποχείριος, ***-ον***: subject to + *dat.*

ἄνουν ... ἄψυχον ... ὑποχείριον: nom. neut. pred., "god is not (a thing) *without mind*, etc."

αὐτοῖς: dat. after ***χρωμένους***, "those using *these things*" i.e aspects of nature such as air, water, sowing, etc.

ἡμῖν: dat., "giving and furnishing *to us*"

ἀέννaα καὶ διαρκῆ: acc. adverbial, "providing *constantly and sufficiently*"

θεοὺς: acc. pred., "we consider those to be *gods*"

ἑτέρους παρ' ἑτέροις: "*different among different* (peoples)"

ἀλλ' ὥσπερ ... οὕτως: "but just as ... so also"

ἄλλως ὑπ' ἄλλων: "named *otherwise by others*" i.e. have various names

ἑνὸς λόγου ... μιᾶς προνοίας: with the idea of "one Reason" and "one providence" Plutarch echoes Stoic monotheistic doctrine, but this is complemented with the multitude of "subservient powers" that are set in charge of everything

κοσμοῦντος ... ἐπιτροπευούσης ... τεταγμένων: a series of gen. abs., "one Reason *ordering* ... one providence *governing* ... powers *having been assigned*"

κατὰ νόμους: "according to custom"

γεγόνασι: perf. of ***γίνομαι*** with present sense, "*there are* different honors and names"

συμβόλοις χρῶνται καθιερωμένοις οἱ μὲν ἀμυδροῖς οἱ δὲ τρανοτέροις, ἐπὶ τὰ θεῖα τὴν νόησιν ὁδηγοῦντες οὐκ ἀκινδύνως· ἔνιοι γὰρ ἀποσφαλέντες παντάπασιν εἰς δεισιδαιμονίαν ὤλισθον, οἱ δὲ φεύγοντες ὥσπερ ἔλος τὴν δεισιδαιμονίαν ἔλαθον αὖθις ὥσπερ εἰς κρημνὸν ἐμπεσόντες τὴν ἀθεότητα.

68. *διὸ δεῖ μάλιστα πρὸς ταῦτα λόγον ἐκ φιλοσοφίας μυσταγωγὸν ἀναλαβόντας ὁσίως διανοεῖσθαι τῶν λεγομένων καὶ δρωμένων ἕκαστον, ἵνα μή, καθάπερ Θεόδωρος*

ἀθεότης, **-ητος**, **ἡ**: atheism
ἀκινδύνως: *(adv.)* without danger
ἀμυδρός, **-ά**, **-όν**: indistinct, obscure
ἀναλαμβάνω: to take up
ἀποσφάλλω: to lead astray
δεισιδαιμονία, **ἡ**: superstition
διανοέομαι: to think over, reflect upon
δράω: to do
ἕλος, **-εος**, **τό**: low ground by rivers
ἐμπίπτω: to fall into (**εἰς**)
θεῖος, **-α**, **-ον**: divine
καθιερόω: to dedicate, hallow
κρημνός, **ὁ**: an overhanging bank, precipice
λανθάνω: to escape notice + *part.*
μάλιστα: *(adv.)* especially
μυσταγωγός, **ὁ**: one who initiates into mysteries, a guide
νόησις, **-εως**, **ἡ**: intelligence, thought
ὁδηγέω: to guide, direct X *(acc.)* toward (**ἐπὶ**)
ὀλισθάνω: to slip, slip and fall
ὁσίως: *(adv.)* devoutly
παντάπασι: *(adv.)* altogether, wholly
σύμβολον, **τό**: a symbol
τρανότερος, **-η**, **-ον**: more clear
φεύγω: to flee, take flight
φιλοσοφία, **ἡ**: philosophy

καθιερωμένοις: dat. agreeing with **συμβόλοις** after **χρῶνται**, "they use *hallowed* symbols"
οἱ μὲν ... οἱ δὲ: "*some* use obscure symbols ... *others* use clear ones"
οὐκ ἀκινδύνως: concessive litotes, "although not without danger"
ἔνιοι ... οἱ δὲ: nom., "some ... others"
ἀποσφαλέντες: aor. pass., "having been lead astray"
ὤλισθον: aor. of **ὀλισθάνω**, "they slipped into (**εἰς**)"
ἐμπεσόντες: aor. part. supplementary after **ἔλαθον**, "they escaped notice *falling into*" i.e. unwittingly fell over
λόγον ἐκ φιλοσοφίας: "the understanding from philosophy"
μυσταγωγὸν: acc. pred., "having taken up *as a guide*"
διανοεῖσθαι: inf. after **δεῖ**, "necessary *to reflect upon* each"
ἵνα μή: introducing a negative purpose clause interrupted by a parenthesis about Theodorus, "*lest* we err"
καθάπερ Θεόδωρος ... οὕτως ἡμεῖς: "*just as Theodorus* said ... *so also (*lest) *we*" but the verbs are not parallel, creating a slight anacoluthon. Theodorus (b. 340 BCE) was a pupil of Aristippus of Cyrene.

εἶπε τοὺς λόγους αὐτοῦ τῇ δεξιᾷ προτείνοντος ἐνίους τῇ ἀριστερᾷ δέχεσθαι τῶν ἀκροωμένων, οὕτως ἡμεῖς ἃ καλῶς οἱ νόμοι περὶ τὰς θυσίας καὶ τὰς ἑορτὰς ἔταξαν ἑτέρως ὑπολαμβάνοντες ἐξαμάρτωμεν. ὅτι γὰρ ἐπὶ τὸν λόγον ἀνοιστέον ἅπαντα, καὶ παρ' αὐτῶν ἐκείνων ἔστι λαβεῖν. τῇ μὲν γὰρ ἐνάτῃ ἐπὶ δέκα τοῦ πρώτου μηνὸς ἑορτάζοντες τῷ Ἑρμῇ μέλι καὶ σῦκον ἐσθίουσιν ἐπιλέγοντες «γλυκὺ ἡ ἀλήθεια·» τὸ δὲ τῆς Ἴσιδος φυλακτήριον, ὃ περιάπτεσθαι

ἀκροάομαι: to hearken to, listen to
ἀνοίσω: to refer X *(acc.)* to (**ἐπὶ**) *(fut.)*
ἀριστερα, **ἡ**: the left hand
γλυκύς, **-εῖα**, **ύ**: sweet
δέκα (*indecl.*): ten
δεξιά, **ἡ**: the right hand
δέχομαι: to take, accept, receive
εἶπον: to speak, say *(aor.)*
ἔνατος, **-η**, **-ον**: ninth
ἐξαμαρτάνω: to err, fail
ἑορτάζω: to celebrate a festival for Y *(dat.)*
ἑορτή, **ἡ**: a feast, holiday
ἐπιλέγω: to say in connection with
ἐσθίω: to eat
ἑτέρως: *(adv.)* differently, badly
θυσία, **ἡ**: an offering, sacrifice
καλῶς: *(adv.)* beautifully
λαμβάνω: to understand
μέλι, **μέλιτος**, **τό**: honey
περιάπτω: to tie around, fasten
προτείνω: to extend, proffer
σῦκον, **τό**: a fig
ὑπολαμβάνω: to understand
φυλακτήριον, **τό**: a protective amulet

τῇ δεξιᾷ ... τῇ ἀριστερᾷ: instrumental, "with the right hand ... with the left" i.e. they received his meaning in the opposite of what he meant

προτείνοντος: gen. abs., "he himself (Theodorus) *proffering* words"

δέχεσθαι: inf. in ind. stat. after **εἶπε**, "said that some *received* his words"

τῶν ἀκροωμένων: gen. partitive, "some *of those hearkening to*"

ἔταξαν: aor. of **τάττω**, "what custom *has arranged*"

ὑπολαμβάνοντες: instrumental, "err *by understanding* badly"

ἐξαμάρτωμεν: aor. subj. in negative purpose clause after **ἵνα μή**, interrupted by a parenthesis about Theodorus, "lest *we err*"

ἐπὶ τὸν λόγον: "refer *to a rational principle*"

ἀνοιστέον: (sc. **ἐστι**) a verbal adjective used impersonally, "that (it is) *necessary to refer* all things to (**ἐπὶ**)"

παρ' αὐτῶν ἐκείνων: "to understand *from those very things*" i.e. from the offerings and festivals

ἔστι: "it is possible" + *inf.*

τῇ ἐνάτῃ ἐπὶ δέκα: "on the nineteenth"

τῷ Ἑρμῇ: here Hermes is to be identified with Thoth, for whom a festival is recorded on the nineteenth day of the first month of the inundation

γλυκὺ: neut. pred., "truth is a *sweet thing*"

περιάπτεσθαι: inf. mid. in ind. stat., "they say she *tied around herself*"

μυθολογοῦσιν αὐτήν, ἐξερμηνεύεται «φωνὴ ἀληθής.» τὸν δ' Ἁρποκράτην οὔτε θεὸν ἀτελῆ καὶ νήπιον οὔτε χεδρόπων τινὰ νομιστέον, ἀλλὰ τοῦ περὶ θεῶν ἐν ἀνθρώποις λόγου νεαροῦ καὶ ἀτελοῦς καὶ ἀδιαρθρώτου προστάτην καὶ σωφρονιστήν· διὸ τῷ στόματι τὸν δάκτυλον ἔχει προσκείμενον ἐχεμυθίας καὶ σιωπῆς σύμβολον, ἐν δὲ τῷ Μεσορὴ μηνὶ τῶν χεδρόπων ἐπιφέροντες λέγουσιν «γλῶσσα τύχη, γλῶσσα δαίμων.» τῶν δ' ἐν Αἰγύπτῳ φυτῶν μάλιστα τῇ θεῷ καθιερῶσθαι λέγουσι τὴν περσέαν, ὅτι καρδίᾳ μὲν ὁ καρπὸς αὐτῆς, γλώττῃ δὲ

ἀδιάρθρωτος, **-ον**: inarticulate
ἀτελής, **-ές**: unfinished
γλῶσσα/ γλῶττα, **ἡ**: the tongue
δαίμων, **ὁ**: destiny
δάκτυλος, **ὁ**: a finger
ἐξερμηνεύω: to interpret accurately
ἐπιφέρω: to bring as an offering + *gen.*
ἐχεμυθία, **ἡ**: reserve
καθιερόω: to dedicate to + *dat.*
καρδία, **ἡ**: the heart
καρπός, **ὁ**: the fruit
μυθολογέω: to tell mythic tales or legends
νεαρός, **-ά**, **-όν**: young, youthful
νήπιος, **-α**, **-ον**: not yet speaking
περσέα, **ἡ**: the persea tree
πρόσκειμαι: to be placed upon
προστάτης, **-ου**, **ὁ**: a guardian
σιωπή, **ἡ**: silence
στόμα, **τό**: the mouth
σύμβολον, **τό**: a symbol of + *gen.*
σωφρονιστής, **-οῦ**, **ὁ**: a superintendent
τύχη, **ἡ**: fortune
φυτόν, **τό**: a plant, tree
φωνή, **ἡ**: a sound, voice
χεδροπά, **τά**: lentils

φωνὴ ἀληθής: "the voice is true" translating *mꜣʿ ḫrw*, expressing a favorable verdict, usually pronounced by Osiris in the judgement of the dead

Ἁρποκράτην: for the "unfinished" Harpocrates, see sections 19 and 65

χεδρόπων τινὰ: pred. phrase, "something of pulses" i.e. somehow related to pulse fruits

νομιστέον: (sc. **ἐστι**), a verbal adjective from **νομίζω** used impersonally, "(it is*) necessary to consider"*

τοῦ ... **λόγου**: "guardian *over the rational account*"

νεαροῦ ... **ἀδιαρθρώτου**: "rational account which is *new*, etc." i.e. Harpocrates' weakness symbolizes the weakness of human knowledge of the gods.

προστάτην καὶ σωφρονιστήν: acc. pred., "but also *as a guardian and superintendent*"

σιωπῆς σύμβολον: the finger on the mouth is actually a sign of youth, misinterpreted late to be a gesture of hushing

ἐν δὲ τῷ Μεσορὴ μηνὶ: "in the month of Mesore" roughly September

τῇ θεῷ: dat., "dedicated *to the goddess*" i.e. to Isis

τὸ φύλλον ἔοικεν. οὐδὲν γὰρ ὧν ἄνθρωπος ἔχειν πέφυκε θειότερον λόγου καὶ μάλιστα τοῦ περὶ θεῶν οὐδὲ μείζονα ῥοπὴν ἔχει πρὸς εὐδαιμονίαν. διὸ τῷ μὲν εἰς τὸ χρηστήριον ἐνταῦθα κατιόντι παρεγγυῶμεν ὅσια φρονεῖν, εὔφημα λέγειν· οἱ δὲ πολλοὶ γελοῖα δρῶσιν ἐν ταῖς πομπαῖς καὶ ταῖς ἑορταῖς εὐφημίαν προκηρύττοντες, εἶτα περὶ τῶν θεῶν αὐτῶν τὰ δυσφημότατα καὶ λέγοντες καὶ διανοούμενοι.

γελοῖα*, *τά: laughable things
διανοέω: to have in mind
δράω: to do
δυσφημότατος*, *-η*, *-ον: most abominable
ἔοικα: to seem like (*perf.*)
εὐδαιμονία*, *ἡ: prosperity, happiness
εὐφημία*, *ἡ: the use of words of good omen
εὔφημος*, *-ον: of good omen
θειότερος*, *-α*, *-ον: more divine than + *gen.*
κάτειμι: to come down *(fut.)*
μείζων*, *μεῖζον: greater
ὅσιος*, *-α*, *-ον: holy, sacred
παρεγγυάω: to recommend + *inf.*
πομπή*, *ἡ: a parade
προκηρύσσω: to proclaim publicly
ῥοπή*, *ἡ: a driving force towards (***πρὸς***)
φρονέω: to think
φύλλον*, *τό: a leaf
χρηστήριον*, *τό: an oracle

ἔχειν πέφυκε: perf. of ***φύω***, "which man *was born having*" i.e. has by nature
θειότερον: nom. pred., "nothing is *more divine*"
τοῦ περὶ θεῶν: (sc. ***λόγου***) "than (reason) about the gods"
ἔχει: "nor *does* (man) *have*"
τῷ ... κατιόντι: pres. part., "to the one coming down"
ἐνταῦθα: "to the oracle *here*" i.e. in Delphi

Harpocrates with a finger on his mouth and a lock of hair on the side of his head, both indications of his youth

69. πῶς οὖν χρηστέον ἐστὶ ταῖς σκυθρωπαῖς καὶ ἀγελάστοις καὶ πενθίμοις θυσίαις, εἰ μήτε παραλείπειν τὰ νενομισμένα καλῶς ἔχει μήτε φύρειν τὰς περὶ θεῶν δόξας καὶ συνταράττειν ὑποψίαις ἀτόποις; καὶ παρ' Ἕλλησιν ὅμοια πολλὰ γίνεται περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον, οἷς Αἰγύπτιοι δρῶσιν ἐν τοῖς ὁσίοις. καὶ γὰρ Ἀθήνησι νηστεύουσιν αἱ γυναῖκες ἐν Θεσμοφορίοις χαμαὶ καθήμεναι, καὶ Βοιωτοὶ τὰ τῆς Ἀχαίας μέγαρα κινοῦσιν «ἐπαχθῆ» τὴν ἑορτὴν ἐκείνην ὀνομάζοντες, ὡς διὰ τὴν τῆς Κόρης κάθοδον ἐν ἄχει τῆς Δήμητρος οὔσης. ἔστι δ' ὁ μὴν οὗτος περὶ Πλειάδας σπόριμος, ὃν «Ἀθὺρ» Αἰγύπτιοι, «Πυανεψιῶνα»

πῶς: how?
σκυθρωπός, **-η**, **-ον**: sad, gloomy
ἀγέλαστος, **-ον**: grave, sullen
πένθιμος, **-ον**: mournful, sorrowful
θυσία, **ἡ**: an offering, rite
παραλείπω: to leave side
φύρω: to mix
συνταράττω: to confound, confuse X *(acc.)* with Y *(dat.)*
ὑποψία: jealousy, suspicion
ἄτοπος, **-ον**: unseemly
ὅμοιος, **-α**, **-ον**: like, resembling
ὁμοῦ: *(adv.)* together
ὁσῖα, **τά**: sacred rites
νηστεύω: to fast
γυνή, **γυναικός**, **ἡ**: a woman
χαμαί: *(adv.)* on the ground
κάθημαι: to be seated

χρηστέον ἐστὶ: verbal adjective of **χράομαι** used periphrastically, "how *must one use*?" + *dat.*
εἰ μήτε ... καλῶς ἔχει: "if it is not right to" + *inf.*
τὰ νενομισμένα: perf. part attributive of **νομίζω**, "the established rites"
περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον" "about the same time"
οἷς: dat. by attraction (= *αὐτοῖς ἅ*) "*to those which* they do"
Ἀθήνησι: "in Athens"
ἐν Θεσμοφορίοις: an ancient festival held by the Athenian women in honour of Demeter, aimed at awakening the fertility of the land
τὰ τῆς Ἀχαίας μέγαρα: "the halls of Achaea" an epithet of Demeter
διὰ τὴν τῆς Κόρης κάθοδον: "because of the descent of Kore" i.e. into the underworld to become the bride of Hades
ὡς ... τῆς Δήμητρος οὔσης: causal, "*because Demeter was* in pain"
περὶ Πλειάδας: "around (the setting of) the Pleiades" a constellation which sets in the fall
Πυανεψιῶνα: the fourth month of the Attic calendar, covering the last part of October and the first part of November

δ' Ἀθηναῖοι, Βοιωτοὶ δὲ «Δαμάτριον» καλοῦσι. τοὺς δὲ πρὸς ἑσπέραν οἰκοῦντας ἱστορεῖ Θεόπομπος ἡγεῖσθαι καὶ καλεῖν τὸν μὲν χειμῶνα «Κρόνον,» τὸ δὲ θέρος «Ἀφροδίτην,» τὸ δ' ἔαρ «Περσεφόνην·» ἐκ δὲ Κρόνου καὶ Ἀφροδίτης γεννᾶσθαι πάντα. Φρύγες δὲ τὸν θεὸν οἰόμενοι χειμῶνος καθεύδειν θέρους δ' ἐγρηγορέναι τοτὲ μὲν κατευνασμούς, τοτὲ δ' ἀνεγέρσεις βακχεύοντες αὐτῷ τελοῦσι· Παφλαγόνες δὲ καταδεῖσθαι καὶ καθείργνυσθαι χειμῶνος, ἦρος δὲ κινεῖσθαι καὶ ἀναλύεσθαι φάσκουσι·

ἀναλύω: to unloose, undo
ἀνέγερσις, **-εως**, **ἡ**: a being aroused
ἄχος, **τό**: pain, distress
βακχεύω: to celebrate the mysteries of Dionysus
Βοιωτοὶ, **οἱ**: the Boeotians, in Central Greece
γεννάω: to beget, engender
Δημήτηρ, **-τρος**, **ἡ**: Demeter
ἔαρ, **ἦρος**, **τό**: spring
ἐγείρω: to awaken, wake up, rouse
ἐπαχθής, **-ές**: heavy, ponderous
ἑσπέρα: evening, the west
ἡγέομαι: to consider, think
θέρος, **-εος**, **τό**: summer, summertime
ἱστορέω: to report
καθεύδω: to lie down to sleep, sleep
κάθοδος, **ἡ**: a going down, descent
καταδέω: to bind up
κατείργνυμι: to hinder, imprison
κατευνασμός, **ὁ**: a lulling to sleep
κινέω: to set in motion, to move
Κόρα, **ἡ**: the "daughter" of Demeter, Persephone
μέγαρον, **τό**: a chamber, hall
μήν, **ὁ**: a month (=**μεῖς**)
οἰκέω: to inhabit, occupy
οἴομαι: to suppose, think
Παφλαγόνες, **οἱ**: the Paphlagonians, an Anatolian nation
σπόριμος, **-ον**: suitable for sowing
τελέω: to accomplish, perform
τοτέ: *(adv.)* at times, now and then
φάσκω: to claim
Φρύγες, **οἱ**: the Phrygians, an Anatolian nation
χειμών, **-ῶνος**, **ὁ**: winter

Δαμάτριον: the eleventh month of the Boeotian calendar, beginning with the winter solstice
τοὺς δὲ πρὸς ἑσπέραν οἰκοῦντας: "those living in the west" i.e. in Sicily and southern Italy
Θεόπομπος: Theopompus of Chios (380 – 315), author of a lost *Hellenica*.
γεννᾶσθαι: pres. inf., "that all things *are engendered*"
χειμῶνος ... **θέρους**: gen. of time, "during the winter ... the summer"
ἐγρηγορέναι: inf. perf. of **ἐγείρω**, "supposing *that he was awakened*"
χειμῶνος, **ἦρος**: gen. of time, "in winter, spring"

70. καὶ δίδωσιν ὁ καιρὸς ὑπόνοιαν ἐπὶ τῶν καρπῶν τῇ ἀποκρύψει γενέσθαι τὸν σκυθρωπασμόν, οὓς οἱ παλαιοὶ θεοὺς μὲν οὐκ ἐνόμιζον, ἀλλὰ δῶρα θεῶν ἀναγκαῖα καὶ μεγάλα πρὸς τὸ μὴ ζῆν ἀγρίως καὶ θηριωδῶς· [379] καθ' ἣν δ' ὥραν τοὺς μὲν ἀπὸ δένδρων ἑώρων ἀφανιζομένους παντάπασιν καὶ ἀπολείποντας, τοὺς δὲ καὶ αὐτοὶ κατέσπειρον ἔτι γλίσχρως καὶ ἀπόρως, διαμώμενοι ταῖς χερσὶ τὴν γῆν καὶ περιστέλλοντες αὖθις, ἐπ' ἀδήλῳ τῷ πάλιν ἐκφανεῖσθαι καὶ συντέλειαν ἔξειν ἀποθέμενοι πολλὰ θάπτουσιν ὅμοια

ἀγρίως: *(adv.)* in a savage manner
ἄδηλος, **-ον**: unclear, obscure
ἀναγκαῖος, **-α**, **-ον**: necessary
ἀπόκρυψις, **-εως**, **ἡ**: a concealment
ἀπολείπω: to leave behind
ἀπόρως: *(adv.)* with difficulty
ἀποτίθημι: to put away
ἀφανίζομαι: to disappear
γῆ, **ἡ**: earth
γλίσχρως: *(adv.)* scantily, niggardly
δένδρον, **τό**: a tree
διαμάω: to scape away
δῶρον, **τό**: a gift, present
ἐκφαίνω: to show forth, reveal
ζάω: to live
θάπτω: to bury
θηριωδῶς: *(adv.)* in a beastly fashion
καιρός, **ὁ**: a season, proper time
καρπός, **ὁ**: fruit, crop
κατασπείρω: to sow thickly
ὅμοιος, **-α**, **-ον**: like, resembling + *dat.*
ὁράω: to see
παλαιοί, **οἱ**: the ancients
πάλιν: *(adv.)* back, backwards
παντάπασι: *(adv.)* altogether, wholly
περιστέλλω: to wrap up, cover
σκυθρωπασμός, **ὁ**: sadness of countenance
συντέλεια, **ἡ**: the consumation of a scheme
ὑπόνοια, **ἡ**: a hidden thought, suggestion
χείρ, **χειρός**, **ἡ**: the hand

τῶν καρπῶν: "from the concealment *of (the seed) of the crops*" i.e. in the earth

γενέσθαι: aor. inf. in ind. stat., "that the gloom *arises*"

πρὸς τὸ μὴ ζῆν: expressing purpose, "gifts *for the not living* savagely" i.e. to advance human life

καθ' ἣν δ' ὥραν: "at which time" i.e. when the ancients began practicing agriculture

τοὺς μὲν ... τοὺς δὲ: (sc. **καρποῦς**), acc. direct object, "they saw *some (fruits)* disappearing ... *others* they sowed"

ἑώρων ... κατέσπειρον: impf., "they were seeing ... they were sowing"

ἀπολείποντας: i.e. falling off the trees and failing to mature

τῷ ἐκφανεῖσθαι ... ἔξειν: fut. inf. (from **ἐκφαίνω** and **ἔχω**) articular dat. after **ἐπὶ**, "with the unclear *about to appearing ... about to having*" i.e. without it being clear whether the fruits will grow or mature

ἀποθέμενοι: aor. part., "having put away" i.e. having sown

θάπτουσιν ... πενθοῦσιν: pres. part. dat. after **ὅμοια**, "doing things similar *to burying and mourning*"

καὶ πενθοῦσιν ἔπραττον. εἶθ' ὥσπερ ἡμεῖς τὸν ὠνούμενον βιβλία Πλάτωνος ὠνεῖσθαί φαμεν Πλάτωνα καὶ Μένανδρον ὑποκρίνεσθαι τὸν τὰ Μενάνδρου ποιήματα διατιθέμενον, οὕτως ἐκεῖνοι τοῖς τῶν θεῶν ὀνόμασι τὰ τῶν θεῶν δῶρα καὶ ποιήματα καλεῖν οὐκ ἐφείδοντο, τιμῶντες ὑπὸ χρείας καὶ σεμνύνοντες. οἱ δ' ὕστερον ἀπαιδεύτως δεχόμενοι καὶ ἀμαθῶς ἀναστρέφοντες ἐπὶ τοὺς θεοὺς τὰ πάθη τῶν καρπῶν καὶ τὰς παρουσίας τῶν ἀναγκαίων καὶ ἀποκρύψεις, θεῶν γενέσεις καὶ φθορὰς οὐ προσαγορεύοντες μόνον ἀλλὰ καὶ νομίζοντες ἀτόπων καὶ παρανόμων καὶ τεταραγμένων δοξῶν αὐτοὺς ἐνέπλησαν, καίτοι τοῦ παραλόγου τὴν ἀτοπίαν ἐν ὀφθαλμοῖς

ἀμαθῶς: *(adv.)* ignorantly
ἀναγκαῖα, **τά**: the necessities of life
ἀναστρέφω: to transfer X *(acc.)* to (**ἐπὶ**)
ἀπαιδεύτως: *(adv.)* in an uneducated manner
ἀπόκρυψις, **-εως**, **ἡ**: disappearance
ἀτοπία, **ἡ**: an absurdity
ἄτοπος, **-ον**: exotic
βιβλίον, **τό**: a book
δέχομαι: to take, accept, receive
διατίθημι: to arrange, stage (a theatrical performance)
δόξα, **ἡ**: a notion, opinion
εἶτα: next, then
ἐμπίπλημι: to fill up + *gen.*
καίτοι: although + *part.*
καλέω: to call X *(acc.)* by Y *(dat.)*
ὀφθαλμός, **ὁ**: the eye
πάθος, **τό**: a suffering, experience
παραλόγος, **ὁ**: a fallacy
παράνομος, **-ον**: unlawful
παρουσία, **ἡ**: reappearance
πενθέω: to lament, mourn
ποίημα, **-ατος**, **τό**: anything made or done
πράττω: to do, perform
σεμνύνω: to exalt, magnify
ταράττω: to stir up, trouble
τιμάω: to honor
ὑποκρίνομαι: to perform, act
ὕστερον: *(adv.)* later
φείδομαι: to hesitate to + *inf.*
φθορά, **ἡ**: destruction, ruin, perdition
χρεία, **ἡ**: use, advantage, service
ὠνέομαι: to buy, purchase

ὥσπερ ... **οὕτως**: "*just as* we say... *just so*" introducing a simile
τὸν ὠνούμενον: part. attributive acc. subject of **ὠνεῖσθαί** "that *the one buying* is buying"
τὸν ... **διατιθέμενον**: part. attributive acc. subject of **ὑποκρίνεσθαι**, "*that the one staging* is acting" i.e. substituting the name of the author for the performance itself
τὰ Μενάνδρου ποιήματα: "the plays of Menander" (340-290 BCE)
ὑπὸ χρείας: causal, "honoring *because of their usefulness*"
οἱ δ' ὕστερον: "those who came later"
γενέσεις καὶ φθορὰς: acc. pred., "naming them *as the birth and destruction* of the gods"
οὐ προσαγορεύοντες μόνον ἀλλὰ καὶ: "*not only naming, but also* believing"
τεταραγμένων: part. perf. of **ταράττω**, "being troubled"

ἔχοντες. εὖ μὲν οὖν Ξενοφάνης ὁ Κολοφώνιος ἠξίωσε τοὺς Αἰγυπτίους, εἰ θεοὺς νομίζουσι, μὴ θρηνεῖν, εἰ δὲ θρηνοῦσι, θεοὺς μὴ νομίζειν, ὅτι γελοῖον ἅμα θρηνοῦντας εὔχεσθαι τοὺς καρποὺς πάλιν ἀναφαίνειν καὶ τελειοῦν ἑαυτοῖς, ὅπως πάλιν ἀναλίσκωνται καὶ θρηνῶνται·

71. τὸ δ' οὐκ ἔστι τοιοῦτον, ἀλλὰ θρηνοῦσι μὲν τοὺς καρπούς, εὔχονται δὲ τοῖς αἰτίοις καὶ δοτῆρσι θεοῖς ἑτέρους πάλιν νέους ποιεῖν καὶ ἀναφύειν ἀντὶ τῶν ἀπολλυμένων. ὅθεν ἄριστα λέγεται παρὰ τοῖς φιλοσόφοις τὸ τοὺς μὴ μανθάνοντας ὀρθῶς ἀκούειν ὀνομάτων κακῶς χρῆσθαι καὶ τοῖς πράγμασιν· ὥσπερ Ἑλλήνων οἱ τὰ χαλκᾶ καὶ

αἴτιος, **-α**, **-ον**: responsible
ἀκούω: to hear
ἅμα: at the same time + *part.*
ἀναλίσκω: to use up
ἀναφύω: to sprout again
ἀντί: instead of + *gen.*
ἀξιόω: to esteem, make a claim
ἀπόλλυμι: to destroy utterly
ἄριστα: *(adv.)* best
γέλοιος, **-α**, **-ον**: laughable to + *inf.*
δοτήρ, **-ῆρος**, **ὁ**: a giver, dispenser
εὖ: *(adv.)* well
εὔχομαι: to pray
θρηνέω: to wail, mourn
κακῶς: *(adv.)* badly
μανθάνω: to learn to know + *inf.*
νέος, **-η**, **-ον**: new, fresh
νομίζω: to believe, suppose
ὀρθῶς: *(adv.)* correctly
πάλιν: back, backwards
πρᾶγμα, **-ατος**, **τό**: a deed, act
τελειόω: to make perfect, complete
τοιοῦτος, **-αύτη**, **-οῦτο**: such as this
χαλκοῦς, **-ῆ**, **-οῦν**: brazen

Ξενοφάνης: Xenophanes of Colophon (570 – 478), a pre-Socratic philosopher
μὴ θρηνεῖν ... μὴ νομίζειν: inf. serving as apodoses in ind. stat. after **ἠξίωσε**, "claimed *that they should not mourn ... should not consider*"
ἅμα θρηνοῦντας: pres. part. acc. agreeing with subject of **εὔχεσθαι**, "laughable (for them) to pray *at the same time mourning*"
εὔχεσθαι: inf. epexegetic after **γελοῖον**, "laughable *to pray*"
ἀναφαίνειν καὶ τελειοῦν: pres. inf. after **εὔχεσθαι**, "pray *that they reappear and complete*"
ἀναλίσκωνται καὶ θρηνῶνται: pres. subj. result, "so that *they be used up and mourned*"
τὸ δ' οὐκ ἔστι τοιοῦτον: "that is not so"
ποιεῖν καὶ ἀναφύειν: inf. after **εὔχονται**, "pray that they *make* new ones *and sprout again*"
λέγεται ... τό: "*that is said* by philosophers"
ὀρθῶς ἀκούειν: inf. after **μανθάνοντας**, "those not learning *to hear correctly*"
κακῶς χρῆσθαι: ind. stat. after **λέγεται**, "that those not learning *use badly*" + *dat.*
Ἑλλήνων οἱ: "of the Greeks some"

τὰ γραπτὰ καὶ λίθινα μὴ μαθόντες μηδ' ἐθισθέντες ἀγάλματα καὶ τιμὰς θεῶν ἀλλὰ θεοὺς καλεῖν, εἶτα τολμῶντες λέγειν, ὅτι τὴν Ἀθηνᾶν Λαχάρης ἐξέδυσε, τὸν δ' Ἀπόλλωνα χρυσοῦς βοστρύχους ἔχοντα Διονύσιος ἀπέκειρεν, ὁ δὲ Ζεὺς ὁ Καπετώλιος περὶ τὸν ἐμφύλιον πόλεμον ἐνεπρήσθη καὶ διεφθάρη, λανθάνουσι συνεφελκόμενοι καὶ παραδεχόμενοι δόξας πονηρὰς ἑπομένας τοῖς ὀνόμασιν. τοῦτο δ' οὐχ ἥκιστα πεπόνθασιν Αἰγύπτιοι περὶ τὰ τιμώμενα τῶν ζῴων. Ἕλληνες

ἄγαλμα, **-ατος**, **τό**: a statue
ἀποκείρω: to clip off
βόστρυχος, **ὁ**: a lock of hair
γραπτός, **-ή**, **-όν**: inscribed
διαφθείρω: to destroy utterly
ἐθίζω: to accustom, use
ἐκδύω: to strip naked, undress
ἐμπίμπρημι: to burn, set on fire
ἐμφύλιος, **-ον**: in the same tribe
ἕπομαι: to follow
ζῷον, **τό**: an animal
ἥκιστα: *(adv.)* least
λανθάνω: to escape notice + *part.*
λίθινος, **-η**, **-ον**: of stone
παραδέχομαι: to receive
πόλεμος, **ὁ**: battle, fight, war
πονηρός, **-ά**, **-όν**: grievous
συνεφέλκω: to draw along
τολμάω: to dare to + *inf.*
χρυσοῦς, **-ῆ**, **-οῦν**: golden

μὴ μαθόντες: note the use of **μὴ** for **οὐ**, a common characteristic of later Greek, "not having learned"

μηδ' ἐθισθέντες: aor. part. pass. of **ἐθίζω**, "nor *having become accustomed to*" + *inf.*

τιμὰς θεῶν ἀλλὰ θεοὺς: acc. pred., "to call statues *honors of the gods, but rather* (call them) *gods*"

εἶτα: "*and consequently* daring to say" implying sarcasm

Λαχάρης: Lachares became dictator in Athens in 300 BCE and stripped the gold from the statue of Athena in order to pay his mercenaries

Διονύσιος: Dionysius I of Syracuse (430-367) similarly plundered a statue of Apollo

Ζεὺς ὁ Καπετώλιος: Jupiter Optimus Maximus, whose temple on the Capitoline in Rome was burned in 83 BCE by Sulla

περὶ τὸν ἐμφύλιον πόλεμον: "in the civil war" between Sulla and the Marians

ἐνεπρήσθη καὶ διεφθάρη: aor. pass. (**ἐμπίμπρημι** and **διαφθείρω**), "was burned and destroyed"

συνεφελκόμενοι καὶ παραδεχόμενοι: part. after **λανθάνουσι**, "they unwittingly *drag in and accept*"

ἑπομένας: "opinions *following*" i.e. accompanying + *dat.*

πεπόνθασιν: perf. of **πάσχω**, "this the Egyptians *have suffered*"

περὶ τὰ τιμώμενα: "*concerning the honors rendered* animals"

μὲν γὰρ ἔν γε τούτοις λέγουσιν ὀρθῶς καὶ νομίζουσιν ἱερὸν Ἀφροδίτης ζῷον εἶναι τὴν περιστερὰν καὶ τὸν δράκοντα τῆς Ἀθηνᾶς καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος καὶ τὸν κύνα τῆς Ἀρτέμιδος, ὡς Εὐριπίδης:

Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσῃ·

Αἰγυπτίων δ' οἱ πολλοὶ θεραπεύοντες αὐτὰ τὰ ζῷα καὶ περιέποντες ὡς θεοὺς οὐ γέλωτος μόνον οὐδὲ χλευασμοῦ καταπεπλήκασι τὰς ἱερουργίας, ἀλλὰ τοῦτο τῆς ἀβελτερίας ἐλάχιστόν ἐστι κακόν· δόξα δ' ἐμφύεται δεινὴ τοὺς μὲν ἀσθενεῖς καὶ ἀκάκους εἰς ἄκρατον ὑπερείπουσα τὴν δεισιδαιμονίαν, τοῖς δὲ δριμυτέροις καὶ θρασυτέροις εἰς ἀθέους ἐμπίπτουσα

ἀβελτερία, **ἡ**: silliness, stupidity
ἄθεος, **-ον**: impious, atheistic
ἄκακος, **-ον**: guileless
ἄκρατος: unmixed, pure
ἀσθενής, **-ές**: weak, feeble
γέλως, **γέλωτος**, **ὁ**: laughter
δεινός, **-ή**, **-όν**: terrible
δεισιδαιμονία, **ἡ**: superstition
δράκων, **-οντος**, **ὁ**: a dragon
δριμύτερος, **-α**, **-ον**: sharper, keener
ἐλάχιστος, **-η**, **-ον**: the smallest, least
ἐμπίπτω: to fall into (**εἰς**)
θεραπεύω: to do service
ἐμφύω: to implant
θρασύτερος, **-α**, **-ον**: bolder, more audacious
ἱερός, **-α**, **-ον**: sacred
ἱερουργία, **ἡ**: worship, sacrifice
κακός, **-ή**, **-όν**: bad
καταπίμπλημι: to fill X *(acc.)* full of Y *(gen.)*
κόραξ, **-ακος**, **ὁ**: a crow
κύων, **κυνός**, **ὁ**: a dog
ὀρθῶς: *(adv.)* correctly
περιέπω: to treat with great care
περιστερά, **ἡ**: a dove
ὑπερείπω: to subvert X *(acc.)* into (**εἰς**)
φώσφορος, **-ον**: bringing light
χλευασμός, **ὁ**: a joke

ἔν γε τούτοις: "at least in these matters" i.e. if not in others as well
ἱερὸν ... **ζῷον**: pred., "to be *the sacred animal*"
ὡς Εὐριπίδης: fragment from a lost play
ἔσῃ: fut., "*you will be* a dog"
ὡς θεοὺς:" "as though they were gods" the Greeks and Romans often made fun of zoomorphic Egyptian gods
οὐ γέλωτος μόνον ... **ἀλλὰ**: "not only with laughter ... but"
καταπεπλήκασι: perf. of **καταπίμπλημι**, "*they have filled* their rites"
τοὺς μὲν ἀσθενεῖς ... **τοῖς δὲ δριμυτέροις**: " it subverts *the weak ... but as for the stronger*"
ὑπερείπουσα ... **ἐμπίπτουσα**: nom. agreeing with **δόξα**, "which subverts into (**εἰς**) ... which causes to fall into (**εἰς**)"

καὶ θηριώδεις λογισμούς. ᾗ καὶ περὶ τούτων τὰ εἰκότα διελθεῖν οὐκ ἀνάρμοστόν ἐστι·

72. τὸ μὲν γὰρ εἰς ταῦτα τὰ ζῷα τοὺς θεοὺς τὸν Τυφῶνα δείσαντας μεταβαλεῖν, οἷον ἀποκρύπτοντας ἑαυτοὺς σώμασιν ἴβεων καὶ κυνῶν καὶ ἱεράκων, πᾶσαν ὑπερπέπαικε τερατείαν καὶ μυθολογίαν, καὶ τὸ ταῖς ψυχαῖς τῶν θανόντων ὅσαι διαμένουσιν εἰς ταῦτα μόνα γίνεσθαι τὴν παλιγγενεσίαν ὁμοίως ἄπιστον. τῶν δὲ βουλομένων πολιτικήν τινα λέγειν αἰτίαν οἱ μὲν Ὄσιριν ἐν τῇ μεγάλῃ στρατιᾷ φασιν εἰς μέρη

αἰτία, **ἡ**: a origin, cause
ἀνάρμοστος, **-ον**: unsuitable, incongruous
ἄπιστος, **-ον**: unbelievable
ἀποκρύπτω: to hide X *(acc.)* in Y *(dat.)*
βούλομαι: to wish: + *inf.*
διαμένω: to remain
διῆλθον: to go through, narrate *(aor.)*
ἔδεισα: to fear (*aor.*)
εἰκότα, **τὰ**: likelihoods, proper beliefs
ᾗ: wherefore
θηριώδης, **-ες**: savage
ἶβις, **ἡ**: the ibis bird
ἱέραξ, **-ακος**, **ὁ**: a hawk, falcon
λογισμός, **ὁ**: a reckoning, calculation
μεταβάλλω: to change
μυθολογία, **ἡ**: mythology
οἷον: as though + *part.*
ὁμοίως: *(adv.)* similarly
παλιγγενεσία, **ἡ**: a rebirth
πολιτικός, **-ή**, **-όν**: political
στρατιά, **ἡ**: army
τερατεία, **ἡ**: a talking marvels
ὑπερπαίω: to overstrike, surpass
ψυχή, **ἡ**: the soul

διελθεῖν: aor. inf. epexegetic, "unsuitable *to narrate*"

τὸ μὲν ... **μεταβαλεῖν**: articular inf. nom. subject of **ὑπερπέπαικε**, "*the idea of changing* into (**εἰς**)" i.e. the story that relates this change

δείσαντας: aor. part. acc. causal, "because they (the gods) feared"

οἷον ἀποκρύπτοντας: "*as though hiding* themselves" Ovid (*Meta.* 5. 321-331), among others, recounts the story that Typhon drove the gods to Egypt where they turned into animals to disguise themselves

ὑπερπέπαικε: perf. with present sense "(that story) *surpasses*"

καὶ τὸ ... **γίνεσθαι**: articular inf. nom., "*and the idea of happening* is unbelievable"

τῶν θανόντων: aor. part. gen., "to the souls *of the dead*"

εἰς ταῦτα μόνα: "into these things only" i.e. only into animals, perhaps alluding to the idea of part of the soul (the *ba*) turning into a bird after death

τὴν παλιγγενεσίαν: acc. subject of **γίνεσθαι**, "that the idea of *a rebirth* happening"

τῶν δὲ βουλομένων: partitive, "of those wishing"

οἱ μὲν: "*some* (of those wishing) claim"

πολλὰ διανείμαντα τὴν δύναμιν (λόχους καὶ τάξεις Ἑλληνικῶς καλοῦσιν), ἐπίσημα δοῦναι ζῳόμορφα πᾶσιν, ὧν ἕκαστον τῷ γένει τῶν συννεμηθέντων ἱερὸν γενέσθαι καὶ τίμιον· [380] οἱ δὲ τοὺς ὕστερον βασιλεῖς ἐκπλήξεως ἕνεκα τῶν πολεμίων ἐν ταῖς μάχαις ἐπιφαίνεσθαι θηρίων χρυσᾶς προτομὰς καὶ ἀργυρᾶς περιτιθεμένους· ἄλλοι δὲ τῶν δεινῶν τινα καὶ πανούργων βασιλέων ἱστοροῦσι τοὺς Αἰγυπτίους καταμαθόντα τῇ μὲν φύσει κούφους καὶ πρὸς μεταβολὴν καὶ

The Narmer Palette showing men carrying standards with animals atop.

ἀργύρεος, **-ᾶ**, **-οῦν**: silver, of silver
βασιλεύς, **ὁ**: a king, pharaoh
γένος, **-εος**, **τό**: tribe, family
δεινός, **-ή**, **-όν**: fearful, terrible
διανέμω: to distribute, apportion X *(acc.)* into (**εἰς**)
δίδωμι: to give
ἔκπληξις, **-εως**, **ἡ**: consternation, terror
Ἑλληνικῶς: *(adv.)* in the Greek language
ἕνεκα: for the sake of + *gen.*
ἐπίσημον, **τό**: a standard
ἐπιφαίνομαι: to appear
ζῳόμορφος, **-ον**: in the form of an animal
θηρίον, **τό**: a wild animal, beast
ἱστορέω: to report
καταμανθάνω: to learn by examining closely
κοῦφος, **-η**, **-ον**: light-hearted
λόχος, **ὁ**: a company of soldiers
μάχη, **ἡ**: battle, fight, combat
μέρος, **-εος**, **τό**: a part, share
μεταβολή, **ἡ**: a change
πάνουργος, **-ον**: wicked, knavish
περιτίθημι: to place round, wear
πολέμιοι, **οἱ**: the enemy
προτομή, **ἡ**: an animal-mask
συννέμω: to associate with
τάξις, **-εως**, **ἡ**: an array of soldiers
τίμιος, **-ος**, **-ον**: valued
φύσις, **ἡ**: nature

διανείμαντα: aor. part. circum., "Osiris *upon having apportioned* his forces"
ἐπίσημα δοῦναι: aor. inf. after **φασιν**, "that he gave standards" a practice that is attested very early in Egyptian history
γενέσθαι: also after **φασιν**, "that each one *became* sacred to" + *dat.*
τῶν συννεμηθέντων: aor. part. pass., "to the tribe *of those associated*"
οἱ δὲ: (sc. **φασιν**) "*others* (claim)" i.e. among those wishing to assert a political origin of the practice
ἐπιφαίνεσθαι: pres. mid. inf. where an aorist would be expected, "that later kings *appear*"
ἄλλοι δὲ: "*still others* report" i.e. among those wishing to assert a political origin of the practice
καταμαθόντα: acc. agreeing with **τινα**, "that some one of the kings *having learned*"
τῇ μὲν φύσει: "were *by nature* light-hearted"

νεωτερισμὸν ὀξυρρόπους ὄντας, ἄμαχον δὲ καὶ δυσκάθεκτον ὑπὸ πλήθους δύναμιν ἐν τῷ συμφρονεῖν καὶ κοινοπραγεῖν ἔχοντας, ἀίδιον αὐτοῖς ἐγκατασπεῖραι δείξαντα δεισιδαιμονίαν διαφορᾶς ἀπαύστου πρόφασιν. τῶν γὰρ θηρίων, ἃ προσέταξεν ἄλλοις ἄλλα τιμᾶν καὶ σέβεσθαι, δυσμενῶς καὶ πολεμικῶς ἀλλήλοις προσφερομένων καὶ τροφὴν ἑτέρων ἕτερα προσίεσθαι πεφυκότων, ἀμύνοντες ἀεὶ τοῖς οἰκείοις

ἀεί: *(adv.)* always, for ever
ἀίδιος, **-ον**: eternal, perpetual
ἄμαχος, **-ον**: unconquerable
ἀμύνω: to keep off, ward off
ἄπαυστος, **-ον**: unceasing, never-ending
δεικνύω: to bring to light, display, exhibit
δεισιδαιμονία, **ἡ**: superstition
διαφορά, **ἡ**: difference, dispute
δυσκάθεκτος, **-ον**: hard to contain
δυσμενῶς: *(adv.)* in a hostile manner
ἐγκατασπείρω: to implant X *(acc.)* in Y *(dat.)*
κοινοπραγέω: act in common
νεωτερισμός, **ὁ**: revolution
οἰκεῖος, **-α**, **-ον**: belonging to one's family
ὀξύρροπος, **-ον**: sudden and quick to (**πρὸς**)
πλῆθος, **-εος**, **τό**: a crowd, multitude
πολεμικῶς: *(adv.)* in a warlike manner
προσίημι: to let come to, accept
προστάττω: to assign, order X *(dat.)* to + *inf.*
προσφέρομαι: to behave towards + *dat.*
πρόφασις, **-εως**, **ἡ**: a pretext for, cause of + *gen.*
σέβομαι: to feel awe or fear
συμφρονέω: to be of one mind with, to agree
τιμάω: to value, honor
τροφή, **ἡ**: nourishment, food

ὄντας ... **ἔχοντας**: pres. part. in ind. stat. after **καταμαθόντα**, "having learned *that they were light-hearted ... that they have* power"

ὑπὸ πλήθους: causal, "have power *because of their large number*"

ἐν τῷ συμφρονεῖν καὶ κοινοπραγεῖν: inf. articular, "have power *in the agreeing and acting in common*"

ἀίδιον ... **πρόφασιν**: in apposition to **δεισιδαιμονίαν**, "superstition, *a perpetual cause of*" + *gen.*

ἐγκατασπεῖραι: aor. inf. in ind. stat., "they report *that they implanted*" + *dat.*

δείξαντα: aor. part. instrumental, "implanted *by showing*"

προσέταξεν: aor. whose subject is the wicked pharaoh from the previous sentence, "which *he ordered* them to honor"

ἄλλοις ἄλλα: "he ordered *different* (people) to honor *different* (beasts)

προσφερομένων ... **πεφυκότων**: gen. abs. with **θηρίων**, "the beasts *behaving towards* (+ *dat.*) ... *being naturally inclined to"* + *inf.*

ἑτέρων ἕτερα: "to accept *one* as the food *of the other*"

προσίεσθαι: inf. pres. mid. after **πεφυκότων**, "inclined *to accept* others as food"

ἀμύνοντες: causal agreeing with **ἕκαστοι**, "because each (group of Egyptians) *was defending* + *dat.*

τοῖς οἰκείοις: (sc. **θηρίοις**), dat. after **ἀμύνοντες**, "defending *their own* (animals)"

ἕκαστοι καὶ χαλεπῶς ἀδικουμένων φέροντες, ἐλάνθανον ταῖς τῶν θηρίων ἔχθραις συνεφελκόμενοι καὶ συνεκπολεμούμενοι πρὸς ἀλλήλους. μόνοι γὰρ ἔτι νῦν Αἰγυπτίων Λυκοπολῖται πρόβατον ἐσθίουσιν, ἐπεὶ καὶ λύκος, ὃν θεὸν νομίζουσιν· οἱ δ' Ὀξυρυγχῖται καθ' ἡμᾶς τῶν Κυνοπολιτῶν τὸν ὀξύρυγχον

ἀδικέω: to do wrong
ἐπεί: after that, since
ἐσθίω: to eat
ἔχθρα, **ἡ**: hatred, enmity
Κυνοπολιται, **οἱ**: inhabitants of Cynopolis
λανθάνω: to escape notice + *part.*
Λυκοπολῖται, **οἱ**: the inhabitants of Lykopolis
λύκος, **ὁ**: a wolf
μόνος, **-η**, **-ον**: alone of + *gen.*
Ὀξυρυγχῖται, **οἱ**: inhabitants of Oxyrhynchus
ὀξύρυγχος, **-ον**: sharp-snouted
πρόβατον, **τό**: sheep
συνεκπολεμόω: to become hostile together towards (**πρὸς**)
συνεφέλκω: to draw along with + *dat.*
φέρω: to bear, endure
χαλεπῶς: *(adv.)* grievously

ἀδικουμένων: (sc. **θηρίων**) gen. object of **φέροντες**, "enduring grievously (the beasts) *being wronged*"

φέροντες: causal agreeing with **ἕκαστοι**, "because each (group of Egyptians) *was enduring* grievously"

συνεφελκόμενοι καὶ συνεκπολεμούμενοι: pres. part. supplementary after **ἐλάνθανον**, whose subject is **ἕκαστοι**, "they kept failing to notice *that they were being drawn along with* (+ *dat.*) ... *that they were becoming hostile* towards (**πρὸς**)" i.e. they were unconsciously drawn into conflict with each other based on the hostility of animals associated with them

Λυκοπολῖται: the jackal-headed god Wepwawet of Lykopolis in middle Egypt may have given Plutarch this idea, although there is no corresponding sheep god

ἐπεὶ καὶ λύκος: (sc. **ἐσθίει**) "*since the wolf also* (eats) sheep"

καθ' ἡμᾶς: "in our time"

ἐσθιόντων: gen. abs. causal, "because the Cynopolites *were eating* the fish"



A stele of Wepwawetemsaf, a king of the Abydos Dynasty or of the late 16th Dynasty, during the second intermediate period, standing before the wolf-headed Wepwawet.

ἰχθὺν ἐσθιόντων κύνα συλλαβόντες καὶ θύσαντες ὡς ἱερεῖον κατέφαγον, ἐκ δὲ τούτου καταστάντες εἰς πόλεμον ἀλλήλους τε διέθηκαν κακῶς καὶ ὕστερον ὑπὸ Ῥωμαίων κολαζόμενοι διετέθησαν.

73. πολλῶν δὲ λεγόντων εἰς ταῦτα τὰ ζῷα τὴν Τυφῶνος αὐτοῦ διῃρῆσθαι ψυχὴν, αἰνίττεσθαι δόξειεν ἂν ὁ μῦθος ὅτι πᾶσα φύσις ἄλογος καὶ θηριώδης τῆς τοῦ κακοῦ δαίμονος γέγονε μοίρας, κἀκεῖνον ἐκμειλισσόμενοι καὶ παρηγοροῦντες περιέπουσι ταῦτα καὶ θεραπεύουσιν· ἂν δὲ πολὺς ἐμπίπτῃ καὶ

αἰνίττομαι: to intimate
ἄλογος, **-ον**: irrational
δαίμων, **-ονος**, **ὁ**: a demon
διαιρέω: to divide among (**εἰς**)
διατίθημι: to treat X *(acc.)* in a certain way
ἐκμειλίσσω: soften
ἐμπίπτω: fall upon, happen
ἐσθίω: to eat
θηριώδης, **-ες**: savage
θύω: to sacrifice
ἱερεῖον, **τό**: a victim, an animal for sacrifice
ἰχθύς, **ὁ**: a fish
καθίστημι: to come into (**εἰς**) a certain state
κακῶς: *(adv.)* badly
κατέφαγον: to eat up, devour *(aor.)*
κολάζω: to punish
κύων, **κυνός**, **ὁ**: a dog
μοῖρα, **-ας**, **ἡ**: a part, portion
παρηγορέω: to address, assuage
περιέπω: to treat with great care
πόλεμος, **ὁ**: battle, war
Ῥωμαῖοι, **οἱ**: the Romans
συλλαμβάνω: to collect
ὕστερον: *(adv.)* later

ὡς ἱερεῖον: "devoured it *as though sacrificial meat*"

καταστάντες: aor. part. of **κατα-ίστημι**, "*having gone* to war as a result of this" the idea being that they went to war as a result of each group eating the sacred animal of the other, but this is apocryphal as a *casus belli*

διέθηκαν: aor. of **δια-τίθημι**, "*they treated* each other badly"

διετέθησαν: aor. pass. of **δια-τίθημι**, "they were separated"

λεγόντων: gen. abs., "with many *claiming*"

διῃρῆσθαι: inf. perf. pass. **δια-αιρέω** after **λεγόντων**, "saying that the soul *was divided* among"

δόξειεν ἂν: aor. opt. pot., "the myth *would seem to* intimate"

γέγονε: perf. of **γίνεμαι**, "every nature has become of" + *gen*. i.e. every nature contains a part (**μοίρας**)

κἀκεῖνον: (= **καὶ ἐκεῖνον**) acc. "*and* to mollify *that one*" i.e. the demon

ἐκμειλισσόμενοι καὶ παρηγοροῦντες: pres. part expressing purpose, "in order to mollify and assuage"

ταῦτα: "they attend to *those*" i.e. the beasts

